eul_wid: mlw-ag

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Commentary-Clouds

*Ὑπόμνημα εἰς Νεφέλας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

book 1 τὸ δρᾶμα τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν· οὐχ, ὥς τινες, δι’ Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα, ὅτι προὔκρινεν Ἀριστοφάνους. ὁ χορὸς δὲ ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, εἰς τὴν σκηνὴν ἑώρα· ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξῄει, πρὸς τὸν δῆμον ἀπεστρέφετο, καὶ

book 1 τοῦτο ἐκαλεῖτο στροφή, ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα· εἶτα τὴν ἀντίμετρον ἤγουν τὴν ἀντίστροφον προσᾴδοντες πάλιν τὰ τετράμετρα ἐπέλεγον, ἦν δὲ ἐπὶ πλεῖστον ις'. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. Ἀριστοφάνης ἐν Ἱππεῦσιν ἦν μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδιδασκάλων, ὃς ἡμᾶς ἠνάγκαζε λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι.

book 2 πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς δεῖται αὐτοῦ φοιτήσαντος πρὸς Σωκράτην μαθεῖν τὸν ἥττονα λόγον. μὴ πειθομένου δὲ τοῦ μειρακίου αὐτὸς ἐλθὼν μανθάνει μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας.

book 3 ἄλλως: πατὴρ τὸν υἱὸν σωκρατίζειν [προτρέπεται. καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβὴ ἱκανὴ λόγων τ’ ἀπόνοια πρὸς τοὐναντίον. χορὸς δὲ Νεφελῶν ὡς ἐπωφελῆ λέγων καὶ τὴν ἀσέβειαν Σωκράτους διεξιών· ἄλλαι θ’ ὑπ’ ἀνδρὸς κατηγορίαι πικραὶ καὶ τῶν μαθητῶν εἷς πατραλοίας ἐκτόπως. εἶτ’ ἐμπυρισμὸς τῆς σχολῆς τοῦ Σωκράτους. τὸ δὲ δρᾶμα τοῦτο τῆς ὅλης ποιήσεως κάλλιστον εἶναί φασι καὶ τεχνικώτατον.

book 4 ἄλλως: πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς δεῖται τούτου φοιτήσαντος εἰς τὸν Σωκράτην μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δικαστηρίῳ τοὺς χρήστας νικᾶν καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. μὴ βουλομένου δὲ τοῦ μειρακίσκου διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκλυθείσης δὲ τῆς διατριβῆς οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται, καὶ

book 4 αὐτὸς ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖν παραλαβὼν τὸν πρεσβύτην καὶ τοὺς νομιζομένους παρ’ αὐτοῦ θεούς, Ἀέρα, Αἰθέρα καὶ Νεφέλας ἀνακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι ἐν σχήματι χοροῦ·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποκαταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινα τῶν μαθημάτων γελωτοποιεῖ. καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, ἄγων πρὸς βίαν τὸν υἱὸν συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, παραλαβὼν αὐτὸν ὁ ἄδικος λόγος ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖς χρήσταις· καὶ ὡς κατωρθωκότος εὐωχεῖ παραλαβών. γενομένης δὲ ἀντιλογίας περὶ τὴν εὐωχίαν πληγὰς

book 4 λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι· καὶ καταλαλούμενος ὑπὸ τοῦ παιδός, ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρισιν ὁ γέρων κατασκάπτει καὶ ἐμπίπρησι τὸ φροντιστήριον τῶν σωκρατικῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

book 5 τὴν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους ὡς τοιαῦτα νομίζοντος καὶ Νεφέλας καὶ Ἀέρα καὶ τί γὰρ ἄλλ' ἢ ξένους εἰσάγοντος δαίμονας. χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορίαν· διὰ τοῦτο οὕτως ἐπεγράφη. διτταὶ δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες τοῦ Σωκράτους Μέλητος καὶ Ἄνυτος.

book 6 Μέλητος καὶ Ἄνυτος εἶχον κατὰ Σωκράτους· διήχθρευσε γὰρ Σωκράτης κατὰ Μελήτου καὶ Ἀνύτου. καὶ δόντες ἀργύριον τῷ Ἀριστοφάνει παρεκίνησαν αὐτὸν κατ' ἐκείνου γράψαι τὴν τῶν Νεφελῶν κωμῳδίαν· οὐκ ἠδύναντο γὰρ κατ' ἐκείνου λέγειν διὰ τὸ μέγαν νομίζεσθαι αὐτόν.

book 7 ὁ Στρεψιάδης ἄρχεται τοῦ μαν[θάνειν· μὴ μανθάνων δ' ἔπεισεν υἱὸν μανθάνειν τὴν ἐξ ἐκείνου δυσφορῶν ἀγροικίαν. ὁ δ' αὖ μαθὼν ἄριστα τοὺς χρήστας λόγῳ τύπτει πρὸς ὄψιν εἰς φυγὴν ἀπεκτρέπων. τῷ δ' αὖ πατρὶ πρόσεισι καὶ νικῶν πάλιν ἔτυψε τοῦτον ἐνδίκως, καὶ Σωκράτους πιμπρᾷ τὸ δῶμα, καὶ νενικηκὼς τρέχει χαίρων μάλιστα καὶ χρεῶν φυγὼν βάρη.

book 1,col 2 Ἀριστοφάνης ὁ κωμικὸς ἠξιωμένος Ἀνύτῳ τε καὶ Μελήτῳ κατὰ Σωκράτους τοῦ φιλοσόφου τὸ δρᾶμα τῶν Νεφελῶν συνετάξατο. ὁ Ἄνυτος δὲ καὶ Μέλητος δικαίως Σωκράτει διήχθρευσαν· ἀκράχολος γὰρ ἦν, ἄσεμνός τε καὶ ἄκοσμος, καὶ τὸ ἦθος πάντη ἀρρύθμιστος, εἰ καὶ μόνην ἐλέγετο μετιέναι φιλοσοφίαν τὴν ἠθικήν. τί δ' ἂν ἠθικόν τε καὶ κόσμιον παιδεύσειεν ἄνθρωπος, ὃς μηδ' ἐφημεροβιότου τροφῆς εὐμοιρῶν λιμοῦ ἂν ἐγένετο παρανάλωμα, εἰ μήπερ ὁ Κρίτων ἐκείνῳ ὄστρακον κοῖλον χαλκιδικὸν μεστὸν ὁτὲ μὲν κρεῶν, ὁτὲ δὲ ἰχθύων, λεῖμμα τῆς ἐκείνου τραπέζης, ἐκπέμψειεν; ὅμως δὲ καὶ τοσαύτῃ συζῶν ἀπορίᾳ δύο γυναῖκας ἔχων ἐν ταὐτῷ οἰκιδίῳ συνούσας αὐτῷ, Ξανθίππην τε καὶ Μυρτώ, τὴν μὲν ἑταιρίστριαν, τὴν δέ οἱ ζυγεῖσαν ἐκ νόμων, καὶ ταύτας διαπληκτιζομένας ἀλλήλαις ὁρῶν γελᾷ διάρρυτον γέλωτα. τοιοῦ-

book 1,col 2 τος ὢν ὁ Σωκράτης—παρίημι γὰρ τὰ λοιπά—καὶ τοὺς ῥηθέντας ἄνδρας ἀεὶ ταῖς αὑτοῦ διδασκαλίαις ἦν διασύρων. ἔλεγε γάρ· περὶ δερμάτων μὲν ἀρετῆς εἴ τις ἐθέλοι μαθεῖν, τὸν τούτων ἐρωτάτω πατέρα, τῶνδε δὲ περὶ τοῦδε. οἳ παρὰ τῶν υἱέων ταῦτα μαθόντες πειρώμενοι παύειν τῆς ἀκολάστου γλώσσης ἐκεῖνον· οὐ καλῶς, ἔφαν, ποιεῖς, ὦ φιλόσοφε, ταῖς σαῖς διδασκαλίαις ἡμᾶς συρματίζων. ὡς δ' οὐκ ἐδυσωπεῖτο ἢ ἐνουθετεῖτο, ἀλλ' ἔτι ἦν ὁ αὐτὸς ἀθεράπευτος, κινοῦσι δίκην· ὅτι διαφθείρει τοὺς νέους καταφρονεῖν τούτους διδάσκων νόμων τε τῶν κειμένων καὶ πρεσβυτέρων καὶ τῶν γονέων. ταῦτα Σωκράτους κατηγορήσαντες Ἄνυτός τε καὶ Μέλητος ἔπεισαν τοὺς περὶ Κριτίαν ψήφισμα θεῖναι Σωκράτην τοῖς νέοις μὴ διαλέγεσθαι·

book 1,col 2 εἶτα δεσμωτηρίῳ τοῦτον εἰργνύουσιν. ὡς δ' ἐξαγαγόντες ἐκ τῆς φρουρᾶς τῷ δικαστηρίῳ παρέστησαν δοῦναι λόγους τῶν σφῶν διδαγμάτων ἑβδομηκονταετὲς ἆθλιον ὁρῶντες γερόντιον συναιρομένων πολλῶν οἱ δικασταὶ κατοικτείραντες ἔμελλον ἀφιέναι τῆς δίκης. ὡς

δ’ ἠρώτησαν· τίνος ἄξιος εἴης τοιαῦτα διδάσκων; ὁ δέ· τῆς ἐν τῷ πρυτανείῳ σιτήσεως, εἶπεν, ἀγανακτήσαντες αὖθις αὐτὸν ἀξιοῦσι τῆς τοῦ δεσμωτηρίου ἐνείρξεως, μετὰ βραχὺ δὲ καὶ τοῦ φαρμάκου τῆς πόσεως, καὶ τότε συνωθηκότες αὐτὸν αὐτὸ ἐξωνήσασθαι διὰ τὸ τετριμμένον τότε μὴ ἔχειν τὸν δημόσιον φάρμακον. ἀλλὰ ταῦτα μὲν ὕστερον· πρὸ δὲ τῆς τελευτῆς τούτου Ἀριστοφάνης τοῦτο τὸ δρᾶμα τῶν Νεφελῶν συνετάξατο, οὗπερ ἡ διασκευὴ καὶ ὁ νοῦς τοιόσδε καθέστη-

book 1,col 2 κεν.

book 2,col 2 πλάττεταί τις Στρεψιάδης τῷ ποιητῇ ἀγροικικῷ πλούτῳ πολύολβος ζυγεὶς πρὸς γάμον ἀττικῇ ἀστικῇ γυναικί, ἀδελφιδῇ Μεγακλέους, πρώτης οἰκίας τελούσῃ καὶ γένους Ἀλκμαιονιδῶν ὀλυμπιονικῶν τεθριπποτρόφων. ἧς πρῶτα ταῖς ἀστικαῖς τρυφαῖς καὶ τοῖς ἀναλώμασι τὸ ὑπερχειλὲς τούτου τῆς περιουσίας καὶ περιττὸν ἐγένετο ἐπιχειλὲς καὶ ὑπόκενον· ὡς δὲ καὶ υἱὸς Φειδιππίδης τούτοις ἐγένετο ζήλῳ τῶν πρὸς μητρὸς γεννητόρων ἁρματηλάτης καὶ ἱπποτρόφος, ἵππους καὶ ἅρματα ἐξωνούμενος τούτῳ καὶ περιπεσὼν μυρίοις τοῖς χρέεσιν ἐν ἀπόρῳ ἦν, ὅ τι καὶ δράσειεν. ὅθεν οὐδ’ ἐν νυκτὶ καθεύδειν δυνάμενος ἀνάψας λύχνον ἀπαριθμεῖται ποσά τε τῶν χρεῶν καὶ

book 2,col 2 τοὺς τόκους. μόλις οὖν πολλὰ συστρέφων καὶ συσκοπούμενος λύσιν μίαν ἐδόκησε τῶν χρεῶν, εἰ τὸν υἱὸν ἀναπείσει τὴν ἱππικὴν παρεικότα προσφοιτῆσαι Σωκράτει καὶ μαθεῖν τὸν ἥττονα λόγον. μὴ πειθομένου δὲ τοῦ υἱοῦ αὐτὸς ἀφικνεῖται πρὸς τὸ σωκρατικὸν φροντιστήριον. καὶ πολλὰ μὲν ὑπὸ γήρως δῆθεν καὶ ἀγροικίας ἀστεῖά τινα κινεῖν δυνάμενα γέλωτα φθέγγεται πρὸς τὸν Σωκράτην διαλεγόμενος· τέλος δὲ χορὸς Νεφελῶν ἐν εἴδει φανεὶς γυναικῶν αὐτῷ συμβουλεύει, καὶ ἀνθ’ αὑτοῦ τὸν υἱὸν μόλις πείσας ἄγει Σωκράτει. καὶ μεμαθηκότα τὸν ἥττονα λόγον καὶ ἀντιλέγοντα τοῖς δανεισταῖς χαίρει τοῦτον ἀπολαβὼν μηδὲν αὐτοῖς διδοὺς τῶν χρεῶν, ἀλλὰ καὶ θεοὺς λέγων ὀμνύειν, ὡς οὐδὲν αὐτοῖς χρεωστοίη· ὡς δὲ συμπόσιον ἐπ’ εὐτυχίαις τοιαῖσδε πεποιηκὼς Στρεψιάδης ἑστιῶν ἦν τὸν υἱόν, καὶ ἀντιλέγων ἐκείνῳ ἱκανῶς ἐπατροτυπτήθη, ἀπεδείκνυ δὲ Φειδιππίδης,

book 2,col ὅτι καὶ δίκαιόν ἐστι παρὰ τῶν υἱῶν τὸν πατέρα τύπτεσθαι, προσεπιτούτοις δὲ καὶ τὴν μητέρα δικαίως ἔλεγε τύψαι πρὸς παρηγόρημα τοῦ πατρός, ἀγανακτήσας ὁ γέρων μετὰ τῶν σὺν αὐτῷ ὁμοῦ πιμπρᾷ καὶ καταβάλλει δικέλλαις τὸ σωκρατικὸν φροντιστήριον.

book 3,col 2 τὸ δρᾶμα δὲ τῶν πάνυ γενναίων ἐστί, μὴ συντεθὲν ἀχαρίστως εἰς τερατείαν φιλόσοφον.

book 1 Στρεψιάδης· μαθητὴς Σωκράτους· δοῦλος Στρεψιάδου· χορὸς Νεφελῶν· Φειδιππίδης, υἱὸς Στρεψιάδου· δίκαιος λόγος· Σωκράτης· ἄδικος λόγος· Πασίας δανειστής· μάρτυς.

book 1,col 2 Στρεψιάδης· δοῦλος Στρεψιάδου· Φειδιππίδης· Σωκράτης· μαθητὴς Σωκράτους· χορὸς Νεφελῶν· δίκαιος λόγος· ἄδικος λόγος· Πασίας δανειστής· μάρτυς.

book 1 ἰοὺ ἰού: ἰαμβικὸς μονόμετρος ὁ στίχος. σχετλιάζει δὲ ὁ Στρεψιάδης ἐπαγρυπνῶν διὰ τὰ χρέα, καὶ διὰ τὸ οὕτως ἐπαγρυπνεῖν καὶ τὴν νύκτα μακρὰν λογιζόμενος.

book 2a ὦ Ζεῦ βασιλεῦ: μὴ πείθου τοῖς λαλοῦσιν, ἀλλὰ τοῖς λέγουσιν. πατὴρ γὰρ ἀνδρῶν καὶ θεῶν καὶ βασιλεὺς βασιλέων ὁ Ζεὺς τοῖς Ἕλλησιν ἐνομίζετο καὶ ἐλέγετο, ὡς τὸ πατὴρ ἀνδρῶν τε θεῶν τε καὶ ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων.

book 2b τὸ χρῆμα τῶν νυκτῶν: ἡ ὕπαρξις νῦν τῶν νυκτῶν, οὐ πρᾶγμα οὐδὲ τὸ νόμισμα.

book 2c τὸ χρῆμα] ἡ ὕπαρξις, τὸ μέγεθος.

book 3a ἀπέρατον καὶ ἀπέραντον τὸ μέγα καὶ μακρόν. ἀπέρατον μὲν τὸ ἀδιόδευτον ἐκ τοῦ περάω, περῶ, ὡς ἐπὶ ποταμοῦ ἢ πελάγους. ἀπέραντον δὲ τὸ ἀτελείωτον ἐκ τοῦ περαίνω, τὸ τελειῶ, ὡς ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔργου. οὕτω νόει μοι, τοὺς σχολιογράφους δ᾽ ἔα. ἐαρινοῦ δὲ τοῦ καιροῦ πεφυκότος γεγονότος μακραὶ τούτῳ λογίζονται αἱ νύκτες ὡς ἀγρυπνοῦντι διὰ τὰ χρέα καὶ μὴ καθεύδοντι.

book 3b ἀπέραντον] ἀτελείωτον.

book 4 ἀλεκτρυόνος] τοῦ.

book 5a οἱ δ᾽ οἰκέται ῥέγκουσιν: βαθέως ὑπνώττουσιν ἀμεριμνοῦντες. οἰκέται δὲ ἀλλαχοῦ μὲν πάντες οἱ κατὰ τὸν οἶκον ὑπάρχοντες λέγονται, ὡς τὸ οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν. νῦν δὲ οἰκέτας μᾶλλον νόει τοὺς δούλους ἐναντίως οἷς λέγουσιν οἱ σχολιογράφοι. καὶ τοῦτο ἐκ τοῦ κατωτέρου σαφέστερον δείκνυται. φησὶ γὰρ ὅτ᾽ οὐδὲ κολάσαι ἔξεστί μοι τοὺς οἰκέτας. ῥέγκουσι δὲ ἀντὶ τοῦ ῥέγχουσιν ἀττικῶς. εἰ γὰρ καὶ δασυνταὶ δασυντικοὶ οἱ Ἀττικοὶ καθεστήκασιν, ὅμως ἐνιαχοῦ καὶ ψιλωταὶ ψιλωτικοὶ γίνονται κατὰ Ἴωνάς τε καὶ Αἰολέας, ὡς τὸ πανδοχεῖον καλεῖν πανδοκεῖον καὶ τὸ ῥέγχουσι ῥέγκουσι καὶ

book 5a ἕτερα ἄττα βραχέα.

book 5b ῥέγκουσιν] ἀττικόν· ἔστι δὲ ποιὰ φωνή· λέγεται δὲ παρὰ Λατίνοις ῥούφλου.

book 5c πρὸ τοῦ] ἔρεγχον.

book 6a ἀπόλοιο δῆτ᾽ ὦ πόλεμε: ὁ δαιμόνιος οὑτοσὶ ῥήτωρ Ἀριστοφάνης δαιμονίᾳ μεθόδῳ δεινότητος χρώμενος ἐν τῷ δοκεῖν γελοιάζειν καὶ παίζειν τοιαῦτα συμβουλεύει τοῖς Ἀθηναίοις, μᾶλλον δὲ πλέον προτρέπει ἀπέχεσθαι πολέμου καὶ εἰρηνεῖν ἐπάγων ἐν παραλείψεως σχήματι τὰ ὅσα δυσχερῆ καθεστήκασι τοῦ πολέμου, καὶ ὅτι οὐδὲ τοὺς οἰκέτας ἔξεστι τιμωρεῖν δρῶντας ὅ τι καὶ βούλονται. ἤν τις γὰρ αὐτοὺς τιμωρήσειε, ῥᾷστα πολεμίοις οὖσι τοῖς Λακεδαιμονίοις αὐτομολήσειαν. τὸ αὐτὸ δὲ δρᾷ καὶ ἐν Ἀχαρνεῦσι καὶ Λυσιστράτῃ κἀν τῆς Εἰρήνης τῷ δράματι. οὗ καὶ τὴν δοκοῦσαν αἰσχρορρημοσύνην τῶν λέξεων ὡς πρώτην σεμνότητα κατασπάζομαι διά τε τὸ χρηστὸν τὸ τῆς συμβουλῆς καὶ τὸ τῆς ἐννοίας σεμνόν. ταῦτα περί τε πολέμου νόει συντόμως, καὶ περὶ τοῦ μὴ τολμᾶν κολάζειν τοὺς δούλους, ἔα δὲ σχολιογραφούντων τὰς ἐκ γαστρὸς αὐτῶν συγγραφὰς τὰς ἀργιννούσας καὶ φλυαρούσας. τότε γὰρ ἐν Ἀργιννούσαις οἱ Ἀθηναῖοι λαμπρῶς μᾶλλον τοὺς Λακεδαιμονίους ἐνίκησαν, καὶ τὴν Μιτυλήνην κατασχόντες κατεκληρούχησαν, κἂν τοὺς ἐν τῇ ναυμαχίᾳ πεσόντας αὐτῶν

book 6a ἀνελέσθαι διὰ τὸν χειμῶνα οὐκ ἴσχυσαν. οὗτος δὲ ὁ νῦν μνημονευόμενος πόλεμος ἄλλος ἐστίν.

book 6b ἀπόλοιο] καὶ φθαρείης.

book 8a ὁ χρηστὸς οὑτοσὶ: εἰρωνικῶς τὸν Φειδιππίδην φησίν.

book 8b ὁ … νεανίας] Φειδιππίδης.

book 8c χρηστὸς] κατ᾽ εἰρωνείαν.

book 9a ἐγείρεται τῆς νυκτός: ἤτοι οὐκ ἐγείρεται δι᾽ ὅλης τῆς νυκτός, ἀλλὰ καθεύδει καὶ κάτωθεν ἀναπνεῖ. τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ.

book 9b τῆς νυκτός] δι᾽ ὅλης, κατὰ τὴν νύκτα, ἐν τῷ καιρῷ. ἔστι δὲ τὸ σχῆμα ἀττικόν.

book 10a ἐν πέντε σισύραις: μαλλωτοῖς ἐπιβλήμασι πέντε. ἐγκεκορδυλημένος: σκεπασθείς, εἰληθείς, συγκρυβείς. διαφέρει δὲ σίσυς, σισύρνα καὶ σισύρα. σίσυς πᾶν εὐτελὲς καὶ ῥακῶδες περίβλημα. σισύρνα δέρμα ἄτριχον πολλοῖς τισι, μᾶλλον δὲ μονασταῖς μοναχοῖς φορούμενον ὡς ἱμάτιον. σισύρα δὲ μαλλωτὰ ἐπιβλήματα στρωμναῖς χρησιμεύοντα. ἐγκεκορδυλημένος δὲ ὁ συγκρυβεὶς καὶ σκεπασθείς· ἀπὸ τῆς κορδύλης καὶ τοῦ κονδύλου καὶ συσφιγμοῦ τῶν δακτύλων τῆς χειρός. τινὲς δὲ ἀπὸ τῆς σκεπούσης τὴν κεφαλὴν τῶν ἀνδρῶν κορδύλης, ἥτις καὶ τιάρα καὶ κίδαρις καὶ καυσία καὶ κυνῆ καὶ στεφάνη καὶ περικεφαλαία καὶ ἐπικρατὶς καὶ καμαλαύχιον καυμελαύκιον λέγεται.

book 10b

τὸ κεφαλοδέσμιον ἡ κορδύλη· ἀπὸ τοῦ τὴν κάραν δέειν καὶ δεσμεῖν.

book 10c ἐγκεκορδυλημένος] ἐντετυλιγμένος. κορδύλη τὸ κεφαλοδέσμιον.

book 11a ἀλλ’ εἰ δοκεῖ ῥέγκωμεν: συγκρύπτεται καὶ ὁ Στρεψιάδης ἐν τῇ στρωμνῇ μιμήσασθαι βουλόμενος τὸν υἱόν, πῶς ἐγκεκορδυλημένος καθεύδει. οὐ δύναται δὲ ἀφυπνῶσαι ταῖς μερίμναις τοῦ βίου χρέους δακνόμενος.

book 11b ῥέγκωμεν] καὶ ἡμεῖς.

book 12 δείλαιος] ὁ.

book 13a δαπάνης: ἀναλωμάτων, ἐξόδων. φάτνης: τῶν ἵππων· ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον. καὶ τῶν χρεῶν: καὶ δανείων.

book 13b τῆς δαπάνης] παρ’ ὑπόνοιαν· τῶν ἐξόδων.

book 13c φάτνης] ⟦ἐξόδ〈ου⟧ τρο〉φῆς τῶν ἵππων.

book 14a (15) ὁ δὲ κόμην ἔχων: ἦσαν γὰρ οἱ ἱππεῖς καρηκομόωντες. ἱππάζεται: κελητίζει, ἵππῳ ἑνὶ ἐποχεῖται. ξυνωρικεύεται: ἐπὶ δίφρου δύο ἵππους ἔχοντος ἐποχούμενος ἐλαύνει. διαφέρει γὰρ κέλης, ἅμαξα, ἀπήνη, ξυνωρίς, ἅρμα. κέλης ὁ μόνιππος ἵππος, ἅμαξα ἡ ἐκ δύο βοῶν, ἀπήνη ἡ ἐξ ἡμιόνων δύο, ξυνωρὶς 〈ἡ〉 ἐκ δύο ἵππων, ἅρμα τὸ ἐκ τεσσάρων ἵππων. ξυνωρὶς καὶ πᾶν τὸ ἐκ δύο τινῶν συνεστώς.

book 14b κόμην] ἐπιμέλειαν.

book 15a ἱππάζεται] ἐπὶ ἑνὶ ἵππῳ ἐποχεῖται.

book 15b ξυνωρικεύεται p. i. m.] ἐξ ἡμισείας ἁρματηλατεῖ, ξυνωρίδι ἵππων χρῆται.

book 16a ὀνειροπολεῖ θ’ ἵππους: καὶ καθεύδων, κἀν τοῖς ὀνείροις ἱππεύειν δοκεῖ. καὶ ὀνειροπολεῖν μέν ἐστιν ὀνείρους βλέπειν, ὁρᾶν, ὀνειρώττειν δὲ τὸ καθ’ ὕπνους δοκεῖν συνδυάζειν καὶ ἀκουσίως γονορρυεῖν.

book 16b ὀνειροπολεῖ] φαντάζεται καθ’ ὕπνους.

book 17 ὁρῶν ἄγουσαν: ἐγὼ δ’ ἀπόλλυμαι, φησίν, ὁρῶν τὴν σελήνην, ὅταν ἤδη κ′ ἐστὶν ἡμερῶν, συστρέφων πρὸς νοῦν, ὅτι ἡ τριακοστὴ αὐτῆς ἐγγίζει ἤδη καὶ μέλλω τοὺς τόκους ἀποδιδόναι.

book 18a ἅπτε παῖ: παῖς κυρίως ὁ δοῦλος ὡς τῇδε καὶ ἐν τῇ παλαιᾷ βίβλῳ, ὡς τὸ “ζῇ, κύριε, ὁ παῖς σου ὁ πατὴρ ἡμῶν”. οὕτω παῖς μὲν ὁ δοῦλος κυρίως λέγεται, λέγεται δὲ καὶ ὁ υἱός. τὸ δὲ παιδίον ἀεὶ ἐπὶ τέκνου λέγεται, οὐκ ἐπὶ δούλου· κἂν παιδίον γὰρ εἴπῃς δούλης, παιδίον ἐκείνης νοεῖς.

book 18b χωροῦσιν] προβαίνουσιν εἰς τὸ ἔμπροσθεν.

book 18c χωροῦσιν] αὔξουσιν.

book 18d παῖ] δοῦλε.

book 19a γραμματεῖον ὁ χάρτης, γραμμάτιον δὲ τὸ γράμμα.

book 19b τὸ γραμματεῖον] κατάστιχον, τὸ ἔγγραφον.

book 20 λογίσωμαι] λογαριάσω, ἀναψηφίσω.

book 21a φέρ’ ἴδω, τί ὀφείλω: παρεπιγραφὴ τὸ σχῆμα. δηλοῦται γὰρ ἐκ τοῦ τὸν Στρεψιάδην τάχα τὸν χάρτην λαβεῖν καὶ λέγειν ἃ λέγει, ὅτι πάντα τὰ κελευσθέντα πεποίηκεν ὁ οἰκέτης, αὐτὸς δὲ τὸν χάρτην λαβὼν καὶ πρὸς τὸν λύχνον ὁρῶν φησιν ἅ φησιν.

book 21b ὁ Πασίας δὲ δανειστὴς ἦν. οἱ σχολιογράφοι δὲ αὐτὸν ἱπποτρόφον φασὶν ἀποβαλόντα τὴν περιουσίαν ἱπποτροφοῦντα.

book 21c μνᾶν δὲ μὴ κατὰ τοὺς ἀλογίστους τὰ ἑβδομηκονταδύο νομίσματα νόει, ἀλλὰ τὰς ἑκατὸν δραχμάς. περιττὸν δὲ ἐν τούτοις περὶ τοιούτων πραγμάτων λεπτολογεῖν.

book 21d δραχμὴ ἓξ ὀβολοί· μνᾶς ἑκατὸν δραχμαί· τάλαντον ξʹ μναί.

book 21e φέρ' ἴδω] παρεπιγραφή.

book 22a τί ἐχρησάμην: εἰς τί ἐχρησάμην ταῖς δώδεκα μναῖς, ἢ τί χρῆμα καὶ πρᾶγμα ὠνησάμην αὐταῖς; ἢ ἀντιπτωτικῶς ἀττικῶς· τί καὶ ἐν τίνι πράγματι (23) ἐχρησάμην; εἶτα δῆθεν συνεικώς φησι· συνῆκα, ἐδανεισάμην ταύτας, ὅτ' ἐπριάμην τὸν κοππατίαν. κοππατίας δὲ ἵππους οἱ σχολιογράφοι τοὺς τὸ κ στοιχεῖον ἐσφραγισμένον ἐν αὐτοῖς ἔχοντας, ὡς καὶ σαπφόρας τοὺς τὸ ς στοιχεῖον ἔχοντας ἐσφραγισμένον, καὶ πολλὰ κατοφρυῶνται τῶν καλλίστως λεγόντων. ἐγὼ δὲ σαπφόρας μὲν τοὺς σειραφόρους καὶ παρηόρους φημί, ἀλλ' οὐ τοὺς ζυγίους καὶ μέσους. κοππατίας δὲ ἵππους κατὰ τοὺς εἰπόντας καλῶς ἐπικρίνω καλεῖν τοὺς γαύρους καὶ παίζοντας καὶ ταῖς ὁπλαῖς τὸ ἔδαφος πλήττοντας.

book 22a οἱ δὲ σχολιογράφοι ψυχρῶς λεγέτωσαν τῇδε καὶ "Βουκέφαλον" "Βουκεφάλαν" καὶ "Ἀλεξάνδρειαν".

book 22b τοῦ] τίνος χάριν ὀφείλω.

book 22c τοῦ] ἕνεκα τίνος.

book 22d τί ἐχρησάμην] εἰς τί ἐδανεισάμην, ἢ τί ἠγόρασα.

book 23a κοππατίας δὲ ἀπὸ τοῦ κόπτειν τὸν πάτον ἤγουν τὸ ἔδαφος.

book 23b ὅτ'] συνῆκα.

book 23b,col 2 συνῆχ'.

book 23c κοππατίαν] ὄνομα ἵππου. παρήχησις τὸ σχῆμα.

book 23d κοππατίαν] ἵππον.

book 24a εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ: εἴθε, φησί, λίθῳ βληθεὶς ἔκ τινος ἐξεκόπην καὶ ἐξεβλήθην τὸν ὀφθαλμὸν ἢ ὠνήσασθαι κοππατίαν ἵππον ἐπὶ δανείῳ καὶ τόκοις. τοῦτο δὲ παίζων εἶπε σχῆμα ποιήσας παρήχησιν, τὸ "κοππατίας" καὶ "ἐξεκόπην".

book 24b ἐξεκόπην πρὸς "τὸν κοππατίαν" τὸ "ἐξεκόπην".

book 25a Φίλων ἀδικεῖς: ὁ Φειδιππίδης οὕτω διακαῶς περὶ τὴν ἱππικὴν καὶ διφρευτικὴν διακείμενος κἀν ὀνείροις μετά τινος Φίλωνος ἡλικιώτου δοκεῖ συνδιφρεύειν καὶ αὐτῷ αἰτιᾶσθαι ὡς δῆθεν αὐτοῦ προδιφρεύοντι καὶ τὴν ὁδὸν τῶν τούτου ἵππων κωλύοντι.

book 25b Φίλων] ὦ.

book 25c Φίλων ... δρόμον] ὀνειροπολῶν λέγει ταῦτα.

book 26 τοῦτ' ἔστι τοῦτο τὸ κακὸν: ὁ Στρεψιάδης δυσφορῶν ἐπὶ τοῖς δανείοις καὶ τόκοις καὶ τὸν υἱὸν κἀν ὀνείροις ἀκούων τοιαῦτα ληροῦντα· τοῦτο, φησί, τὸ ἱππεύειν αὐτὸν καὶ διφρεύειν, ἐστὶν ὅ με ἀπώλεσεν.

book 28a πόσους δρόμους: ὡς ἐν ὀνείροις ὁ νεανίας, ἀλλ' οὐκ ἐγρηγορὼς οὐδὲ ἔξυπνος, ταῦτα φθεγγόμενος τοῦ ἀληθοῦς παρασυρόμενος σφάλλεται. δέον γὰρ εἰπεῖν· πόσους ἐλαύνουσι τὰ ἁμιλλητήρια; τὰ πολεμιστήρια, εἶπε, πόσους ἐλαύνουσιν; ἕνα γὰρ τὰ πολεμιστήρια δρόμον ἐλαύνουσιν, ὃν εὗρε Θησεύς, ὡς οὗτοί φασιν, ἐμοὶ μὲν οὐ καλῶς λέγειν δοκοῦντες, ἑτέροις δὲ ἴσως ἂν καὶ παγκάλως. πολεμιστήρια δὲ αὐτὸς τὰ πολεμικά φημι λέγειν τὸν νεανίαν, ἐν οἷς πολεμοῦντες ἐν τοῖς πολέμοις τινὲς ἢ ἀναιροῦσι τοὺς ἐναντίους ἢ ἀναιροῦνται. οὕτω δέ φημι τὸν νεανίαν εἰπεῖν ἐν ὀνείροις παρασφαλέντα καὶ γλώττῃ καὶ λογισμῷ. οὐδὲ γὰρ εἰπεῖν ἀνέχομαι κἂν τὸν ὁπλίτην δρόμον πολεμιστήριον,

book 28a ὃν οὗτοι Θησέα φασὶν ἐφευρεῖν. ὁ γὰρ ὁπλίτης δρόμος πεζῶν ὑπῆρχεν, οὐ διφρευτῶν. ἀκουέτω γοῦν παρ' ἡμῶν ὃς ἐθέλει καὶ περὶ δρόμων. τρεῖς μὲν ἦσαν δρόμοι πεζῶν· ὁ ὁπλίτης, ὁ δίαυλος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ὁ δόλιχος. καὶ οἱ μὲν τὸν ὁπλίτην τρέχοντες δρόμον, ὃς ἐκαλεῖτο καὶ σταδιαῖος, πανοπλίας ἐνδεδυμένοι ἀπὸ τῆς ἀφετηρίας ἔτρεχον καὶ μέχρι μόνου καμπτῆρος. οἱ δὲ τὸν δίαυλον θέοντες οὐ πανοπλίας ἐνδεδυμένοι, μόνας δὲ ἀσπίδας καὶ περικεφαλαίας καὶ δόρυ κατέχοντες, ἀπὸ βαλβίδος μέχρι καμπτῆρος ἀνήεσαν κἀκ τοῦ καμπτῆρος πάλιν εἰς τὴν ἀφετηρίαν κατέθεον. οἱ δολιχοδρομοῦντες δὲ ψιλῶς ἑπτάδρομον ἐποιοῦντο τὸν δρόμον, τρὶς μὲν ἀνιόντες, τρὶς δὲ κατιόντες, καὶ πρὸς τὸν καμπτῆρα τὸν ἕβδομον δρόμον ἐκτερματοῦντες. οἱ δίφροι δὲ καὶ τὰ ἅρματα

book 28a δωδεκάκις τοὺς καμπτῆρας τὰς καμπτηρίας ἐποίουν. πολεμίζω δὲ ἀττικῶς καὶ πολεμιστήριον.

book 28b ἐλᾷ] ἐλαύνουσι.

book 28c τὰ πολεμιστήρια] τὰ ἁμιλλητήρια.

book 28d τὰ πολεμιστήρια] ὤφειλεν εἰπεῖν· τὰ ἁμιλλητήρια· ἀλλὰ διότι κοιμᾶται.

book 29 πολλοὺς] εἰς.

book 30 ἔβα με] ἔβη, προῆλθεν, ηὔξησεν εἰς ἐμέ.

book 31a ἔβα καὶ ἐπῆλθεν εἰς ἐμὲ μετὰ τὸν Πασίαν ἕτερον χρέος, τρεῖς μναῖ ἕνεκα δίφρου ἤγουν περιφερείας ἅρματος, καὶ ἕνεκα τροχῶν ἤτοι ἕνεκα ὅλου ἅρματος, δοθεῖσαι τῷ Ἀμυνίᾳ. καὶ οὗτος ὁ Ἀμυνίας εἷς ἦν τῶν διφρηλασίαις καὶ ἱππικῇ τῆς περιουσίας ἐστερημένων. νῦν δὲ οὐκ αὐτόν, ὥς φασιν, ἀλλ’ Ἀμινίαν τὸν ἄρχοντα κωμῳδῆσαι βουλόμενος, δεδιὼς αὐτόν τε τὸν ἄρχοντα καὶ τὸν τοῖς κωμῳδοῖς κείμενον νόμον, τὸ μὴ κωμῳδεῖν ἀνεπικαλύπτως τοὺς ἄρχοντας, μεθ’ ὑποστολῆς καὶ λαθραίως παραγραμματίσας καὶ τὸ ἰῶτα τρέψας εἰς υ Ἀμυνίᾳ εἶπε, καὶ οὐκ Ἀμινίᾳ.

book 31b τρεῖς] τρῖς.

book 31c μναῖ] λίτραι.

book 31d διφρίσκου] ἕνεκα μικροῦ ἅρματος.

book 31e Ἀμυνίᾳ] δοθεῖσαι τῷ Ἀμυνίᾳ.

book 32a ἄπαγε τὸν ἵππον ἐξαλίσας: ἔτι καθεύδων καὶ ὀνειροπολῶν Φειδιππίδης δοκεῖ οἴεται πληρῶσαι τὸν δρόμον τὸν ἱππικὸν καὶ κελεύει δῆθεν τῶν ὑπουργούντων τινὶ πρὸς κόνεως κυλίστραν τὸν ἵππον ἐξαγαγεῖν κυλισθῆναι.

book 32b ἄπαγε] ὦ δοῦλε.

book 32c ἐξαλίσας] κυλισθῆναι ποιήσας. ἀλινδήθρα ἡ κυλίστρα.

book 33a ἀλλ’ ὦ μέλε’ ἐξήλικας: πρὸς ταῦτα ὁ Στρεψιάδης φησίν· ἀλλ’ ὦ μέλεε, ἄθλιε καὶ μὴ ἐλέους τυχεῖν ἄξιε, σὺ μὲν ἐμὲ ἐξήλικας, καὶ ἐξεκύλισας ἐκ τῶν ἐμῶν ἤτοι τῆς περιουσίας με ἀπεστέρησας.

book 33b ἐξήλικας] ἐξεκύλισας, ἔφθειρας, ἐξέβαλες.

book 34a ὅτε καὶ δίκας ὤφληκα: ἤτοι πρὸς τῷ ζημιωθῆναί με τοῖς σοῖς ὑποψύχροις ἱππεύμασι τόσοις περιπεσόντα τοῖς χρέεσι καὶ εἰς δικαστήριον ἕλκομαί τισι δανεισταῖς, ἑτέροις δὲ καὶ ἀπαιτοῦμαι ὑπὲρ τόκων αὐτοῖς ἐνεχυράσασθαι ἤτοι ἕτερα δοῦναι τούτοις ἐνέχυρα.

book 34b τόκου] ἕνεκεν.

book 35a ἐτεόν, ὦ πάτερ: ταῦτα ὁ Φειδιππίδης οὐκέτι καθεύδων, ἀλλ’ ἐγρηγορὼς ἀλλὰ γρηγορῶν λέγει ἀκηκοὼς ἀγανακτοῦντος αὐτοῦ τοῦ πατρός.

book 35b ἢ λαβεῖν ἐμὲ ὡς ἐνέχυρον.

book 35c ἐνεχυράσασθαί] ἐνέχυρα λαβεῖν.

book 36a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τί δυσκολαίνεις: δυσφορεῖς, θλίβῃ, καὶ στρέφομαι, στρέφει ἀττικῶς, μὴ ἠρεμῶν ἐν τῇ κλίνῃ.

book 36b δυσκολαίνεις] δυσχεραίνεις.

book 36c τὴν νύχθ’] κατά.

book 37a δάκνει μέ τις δήμαρχος: οὐ ψύλλαν οὐδὲ κόριν νῦν φησιν, ὥς τινες οἴονται τὸν δήμαρχον λέγειν, ἀλλὰ τὴν τῶν χρεῶν ἕνεκα μέριμναν τὴν μὴ ἐῶσαν αὐτὸν ἀφυπνοῦν, ὥσπερ οἱ δήμαρχοι ἀπογραφάς τε ποιούμενοι τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων καὶ πάντα λεπτῶς ἀκριβολογούμενοι καὶ μηδὲν παρεῶντες ἀνεπιτήρητον.

book 37b διασύρει τοὺς δημάρχους ὡς καταφρονοῦντας τῶν Ἀθηναίων.

book 37c δήμαρχός τις] ἤγουν ἡ μέριμνα τῶν χρεῶν.

book 38a καταδαρθεῖν: κυρίως καταδαρθεῖν τὸ ἐν δέρμασι κοιμηθῆναι, νῦν δὲ τὸ ἁπλῶς κοιμηθῆναι. Ἀττικοὶ δὲ οὐ γράφουσι περισπωμένως “καταδαρθεῖν”, ἀλλὰ βαρυτόνως “καταδάρθειν”. ταῦτα εἰπὼν ὁ Φειδιππίδης πάλιν αὖθις (39) κοιμᾶται συγκαλυψάμενος. διὸ καὶ ὁ Στρεψιάδης φησί· σὺ κάθευδε, τὰ δὲ χρέα ταῦτα, γίνωσκε, εἰς τὴν σὴν κεφαλὴν τραπήσονται, ἤτοι εἰς σὲ τείνει ἡ τούτων ζημία. ἂν γὰρ ἐνδεὴς ἐγὼ θάνοιμι, πολλῷ σὺ ἐνδεέστερος περιλειφθήσῃ καὶ ὡς κληρονόμον οἱ δανεισταὶ σὲ ἑλκύσουσιν ἀποδοῦναι τὸ ὄφλημα.

book 38b καταδαρθεῖν] κυρίως ἐπὶ δερμάτων κοιμᾶσθαι.

book 38b,col 2 δαιμόνιε: ἀθλιώτατε.

book 40a 40] ἤγουν ἀποθανόντος ἐμοῦ.

book 40b τρέψεται] τραπήσεται.

book 41a φεῦ: ἐν μνείᾳ γενόμενος ὁ Στρεψιάδης τῆς πρὶν ἀγροδιαίτου περιουσίας αὐτοῦ καὶ τῆς μετὰ τὸν ἀστικὸν γάμον δαπάνης καὶ τῆς ἐνδείας καὶ τῶν χρεῶν τὸ “φεῦ” ἀναφθέγγεται καὶ τῇ προμνηστρίᾳ τῶν γάμων ἀρᾶται.

book 41b προμνήστρι’] ἡ λεγομένη προξενήτρια, μαυλίστρια.

book 41b,col 2 προμνήστρια: ἡ προξενήτρια.

book 42 ἐπῆρε] ἐκίνησε.

book 42,col 2 ἐπῆρε: ἀνέπεισε, ἀνεπτέρωσε.

book 43,col 2 ἀγρότης βίος: ἡ περιουσία.

book 44a εὐρωτιῶν: σηπόμενος τῷ εἰκῇ καὶ μάτην κεῖσθαι. ἀκορήτως: καταπεφρονημένως, ἀφροντίστως.

book 44b εὐρωτιῶν] σεσηπωμένος.

book 44c ἀκόρητος p.i.m.] ἀνεπιμέλητος, ἀκαλλώπιστος, ἀτημέλητος· ἀπὸ μεταφορᾶς τῆς κόρης τῆς μὴ καλλωπιζομένης.

book 45a βρύων μελίτταις: ἤτοι πλήρης ὢν μελισσῶν καὶ προβάτων, ἐλαίου καὶ οἴνου καὶ πάντων ἁπλῶς τῶν εἰς βίον χρησίμων. στέμφυλα δὲ λέγονται τὰ τῶν ἐλαιῶν καὶ τῶν σταφυλῶν δέρματα, γίγαρτα δὲ οἱ τῶν σταφυλῶν κόκκοι.

book 45b στεμφύλοις] δέρμασι σταφυλῶν, ἐλαιῶν.

book 46a Μεγακλέους τοῦ Μεγακλέους: ἐδιπλασίασε τὸ ὄνομα, καθ’ ἡμᾶς ἵν’ ὄγκον καὶ ὕψος ἐπιθείῃ τῷ γένει τῷ Μεγακλέους. ἦν γὰρ ὁ Μεγακλῆς οὗτος τοῦ γένους τῶν Ἀλκμαιονιδῶν τεθριπποτρόφων ὀλυμπιονικῶν πλουσίων ἀνδρῶν, ὧν Ἀλκμαίονα πρόγονον ὑπέρπλουτον ὁ Κροῖσος ἐποίησε. λέγεται δὲ παῖς ὑπάρχειν ὁ Μεγακλῆς Κοισύρας πλούτῳ καὶ γένει τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρετριακὰς ὑπερτρεχούσης γυναῖκας, ἀφ’ ἧς ἔλεγον Ἐρετριεῖς ἐγκεκοισυρῶσθαι τὸ μέγα φρονεῖν· τινὲς δὲ δοῦλον εἶναι τοῦτόν φασιν.

book 46b Μεγακλέους τοῦ Μεγακλέους κατ’ ἐπίτασιν.

book 47a ἀδελφιδὴν: ἀδελφῆς ἢ ἀδελφοῦ θυγατέρα, ἣν οἱ ἰδιῶται καλοῦσιν ἀνεψιάν. ἀνεψιοὶ γὰρ κυρίως οἱ ἀδελφῶν λέγονται παῖδες, ὥσπερ ἄλλοι φασὶ περιττοὶ καὶ ὁ Δημοσθένης Ὅμηρός τε ἡ κορυφὴ τῶν ἁπάντων σοφῶν.

book 47b ἄγροικος ὢν ἐξ ἄστεος: ἀγροδίαιτος ἤτοι ἀγρότης ὢν ἔγημα ἐξ ἄστεος ἤτοι πολίτιδα γυναῖκα τὴν ἣν ἔφην. ἄγροικος προπαροξυτόνως ὁ ἀνόητος καὶ βάρβαρος καὶ ἀπαίδευτος, ἀγροῖκος δὲ ὁ ἐν ἀγροῖς οἰκῶν καὶ χωρίοις. Ἀττικοὶ δὲ καὶ τὸν ἄγροικον ἀγροῖκον λέγουσι προπερισπωμένως, ὡς τὸ τρόπαιον τροπαῖον καὶ τὰ ὅμοια.

book 47c ἀδελφιδὴν] ἀνεψιάν.

book 47d ἐξ ἄστεος] ἔγημα.

book 48a σεμνήν: ὑπερήφανον, ὑψηλήν, ἐπηρμένην, ἀλαζόνα. ἐγκεκοισυρωμένην: τὰ Κοισύρας φρονοῦσαν, κομπαστικήν, φρυάγματος πλήρη, μεγαλόφρονα κατὰ τὴν Κοισύραν τὴν πρόγονον ταύτης.

book 48b σεμνήν] ἐπηρμένην.

book 48c ἐγκεκοισυρωμένην p.i.m.] τὰ Κοισύρας φρονοῦσαν· ἐξ οὗ καὶ “κοισυροῦταί τις”, ὁ κατὰ τὴν Κοισύραν καλλωπιζόμενος καὶ κομπάζων· ἤγουν κομπαστικήν.

book 49a ταύτην ὅτ’ ἐγάμουν: ὅτε ἠ⟦γα⟧γόμην εἰς γυναῖκα καὶ τὴν τῆς γαμηλίας ἡμέραν ἑώρταζον. τοῦτο γάρ ἐστι τὸ γαμεῖν. ὃ δέ φασιν οἱ ἀσελγεῖς καὶ αἰσχρόστομοι τὴν φύσει σεμνὴν λέξιν εἰς αἰσχρὰν αὐτῶν τῷ νῷ μετατρέψαντες, οὐ γάμος καλεῖται, ἀλλ’ ὁμιλία, συνάφεια, μίξις, συνδυασμός, συγκατάκλισις καὶ ἕτερα μυρία τοιαῦτα ὀνόματα. συγκατεκλινόμην: ἐζευγνύμην, ἐμιγνυόμην.

book 49b ἐγάμουν] εἰς γάμον ἠγόμην.

book 50a ὄζων τρυγός: ἁπλῶς εἰπεῖν πλουτῶν πᾶσι πράγμασι τοῖς ἐξ ἀγρῶν τῷ βίῳ χρησίμοις. ὁ δὲ τροπικῶς εἶπεν ἠθικωτέρως· ὄζων καὶ ἀποπνέων ἀγροικικῆς δυσοσμίας· τρυγὸς καὶ οἴνου· τρασιᾶς, ἐρίων καὶ μαλλῶν προβάτων, ἤτοι προβάτων· περιουσίας, θησαυροῦ θησαυρισμοῦ πραγμάτων καὶ ἀποθέσεως διὰ περιττότητα. τοῦτο γὰρ ἡ περιουσία, περιττότης τις καὶ ἀπόθεσις τῶν εἰς οὐσίαν καὶ ὕπαρξιν χρησίμων. τρασιὰ ταρσιὰ δέ ἐστι πᾶν ξηραντήριον σταφυλῶν, σύκων, τυρῶν, κρεῶν, ἰχθύων, πάντων τῶν τοιούτων ἁπλῶς ξηραντήριον.

book 50b ὄζων] ἀποπνέων.

book 50c τρυγός] οἴνου.

book 50d τρασιᾶς] ὀσμῆς.

book 51a ἡ δ’ αὖ μύρου, κρόκου: ἐγὼ μέν, φησίν, ὅτε συγκατεκλινόμην αὐτῇ, τοιαύτης ὦζον ὀσμῆς, ἡ δὲ γυνὴ ὦζε μύρου, κρόκου καὶ ἀρωμάτων ἑτέρων. καταγλωττισμοῦ: καθ’ ἑτέρους εἴδους αἰσχρῶν φιλημάτων, κατὰ δ’ ἡμᾶς σειρηνικῆς περιεπείας καὶ ὁμιλίας λόγων εὐτραπέλων καὶ κωτιλότητος· αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα ἐμὴν κενοῦσα καλιήν. (52) δαπάνης: ἀναλωμάτων, ἐξόδου, καινοτομίας. λαφυγμοῦ: καταβρώσεως καὶ ἐκκενώσεως πραγμάτων. Κωλιάδος, Γενετυλλίδος: ἀφροδισίων καὶ συνουσίας· Κωλιὰς γὰρ καὶ Γενετυλλὶς Ἀφροδίτης ἐπίθετα. Γενετυλλὶς μὲν γὰρ λέγεται ὡς γενέσεως ἔφορος. Κωλιὰς δὲ ὀνομάζεται οὕτως· οἱ μέν

book 51a φασιν ἀττικὸν νεανίαν τινὰ κατασχεθέντα λῃσταῖς ἢ τυράννῳ δεθῆναι τῶν κώλων ἤγουν ἐκ τῶν μηρῶν ἢ τῶν βραχιόνων. τὴν ἀρχιλῃστοῦ δὲ θυγατέρα ἢ τοῦ τυράννου—τινὲς δὲ τὴν

γυναῖκα, οὐ τὴν θυγατέρα φασίν—ἐρασθεῖσαν λῦσαι τὸν νέον· ὃς Ἀθήναζε ἀφικόμενος χαριστήρια τῇ Ἀφροδίτῃ ναὸν ᾠκοδόμησε Κωλιάδος αὐτὸν ὀνομάσας ὡς ῥυσαμένης αὐτὸν δεδεμένον τῶν κώλων. οἱ δὲ ταύτην τὴν Ἀφροδίτην φασὶ Κωλιάδα καλεῖσθαι, ὅτι ὁ τόπος, ἔνθα τιμᾶται, ἀνδρὸς κώλοις ἔοικεν. ἕτεροι δέ φασιν· Ἴωνος ἐκεῖ θύοντος κόραξ καταπτὰς ἀφήρπασε τὴν κωλὴν καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀπέθετο. καὶ οὕτως ἀπὸ τοῦ τόπου καὶ τοῦ συμβάματος ἡ Ἀφροδίτη ἐκλήθη.

book 51b καταγλωττισμάτων] εὐτραπέλων λόγων, ἤγουν γλυκέων.

book 52a λαφυγμοῦ] ἐκκενώσεως.

book 52b Κωλιάδος] ἀφροδισίας.

book 52c Γενετυλλίδος] αἰτία γεννήσεως.

book 53a ἀλλ’ ἐσπάθα: οὐ μὴν ἐρῶ καὶ εἴποιμι, ὡς ἀργὸς καὶ ἀργὴ ἦν ἡ γυνή— ἀττικὸν δὲ τουτί ἀττικῶς— ἀλλ’ ἐσπάθα, λίαν ἐτρύφα τὴν περιουσίαν ἐμοῦ ἐξαντλοῦσα θοίναισιν ὄλβον ἐκχέουσα τλήμονος. σπαθᾶν δὲ τὸ λίαν τρυφᾶν εἴρηται ἀπὸ τῶν γυναικῶν τῶν πάνυ σπουδαίων εἰς τὸ ἐργάζεσθαι, καὶ σπαθᾶν καὶ συντονωτέρως κινεῖν τὰς ὑφαντικὰς σπάθας εἰς τὸ ἐργάζεσθαι.

book 53b ἐρῶ] εἴπω.

book 53c ἐσπάθα] κατήσθιεν.

book 54 ἐγὼ δ’ ἂν αὐτῇ πρόφασιν: ἐγὼ δὲ αὐτῇ τὸ ἄγροικόν μου τόδε ἱμάτιον δεικνὺς προφάσει πενίας ἔλεγον· ὦ γύναι, λίαν σπαθᾷς.

book 55 σπαθᾷς] τρυφᾷς.

book 57a πότην λύχνον: ἢ τὸ ὄστρακον αὐτὸ καὶ αὐτὸν τὸν λύχνον πότην φησί· πολλὰ γάρ εἰσιν ὄστρακα ὑπόσομφα καὶ πίνουσι ῥᾳδίως τὸ ἔλαιον· ἢ τὸ ἐλλύχνιον (59) λέγει· τὰ παχέα γὰρ τῶν ἐλλυχνίων ἀναλίσκει ῥᾳδίως τὸ ἔλαιον. θρυαλλίδες δὲ οἱ τοῦ πυρὸς σπινθῆρες κυρίως καλοῦνται, καταχρηστικῶς παραχρηστικῶς δὲ νῦν τὸ ἐλλύχνιον λέγει. ἔα δὲ τοὺς σχολιγράφους λέγειν “κυρίως θρυαλλίδας τὰ ἐλλύχνια, ὅτι ἀπὸ τοῦ θρύου ἦν πάλαι τὰ ἐλλύχνια”.

book 57b τὸν πότην] τὸν καταναλίσκοντα τὸ ἔλαιον συντόμως ἤγουν τὸν σομφώδη.

book 59 θρυαλλίδων] ἀπό.

book 60a μετὰ ταῦθ’ ὅπως: μετὰ τὰ πρὸς τὸν δοῦλον λεχθέντα πάλιν τῆς διηγήσεως ἅπτεται καί φησιν· ὡς δ’ ἡμῖν ἐγεννήθη υἱός, ἐμοί τε καὶ τῇ ἀγαθῇ γυναικί, εἰρωνικῶς, ἐλοιδορούμεθα καὶ ἀπεμαχόμεθα, ποίαν κλῆσιν θείημεν (63) τούτῳ. ἡ μὲν γὰρ ἵππον προσετίθει, σύνθετον ὄνομα ἐξ ἵππου συντεθειμένον ἐβούλετο θεῖναι κλῆσιν τῷ υἱῷ, Ξάνθιππον ἢ Χάριππον. ὁ Ξάνθιππος πατὴρ ἦν ἐκείνου τοῦ Περικλέους, ὃς ἦν τοῦ Ἀλκμαιονιδῶν γένους, ἐφ’ οἷς τὸ γύναιον ἐσεμνύνετο καὶ μᾶλλον ἐπὶ Μεγακλεῖ υἱῷ τελοῦντι Ἀλκμαίονος, ὃν Κροῖσος ὑπερεπλούτισεν. ὃς Μεγακλῆς ἱπποτροφῶν τρισσάκις Ὀλύμπια ταῖς αὐταῖς ἵπποις ἐνίκησε καὶ τεθνηκυίας ταφῆς κατηξίωσεν. ἀλλὰ τὰ τῆς τῶν ἵππων ταφῆς ὕστερα. ὁ αὐτὸς Μεγακλῆς καὶ ὑπὸ Πεισιστράτου ἐξοστρακισθεὶς πάλιν ὑπ’ αὐτοῦ ἀνεκλήθη, ὅτι νενικηκὼς ἅρματι τεθρίππῳ ἐν Ὀλυμπίᾳ οὐχ ἑαυτῷ τῆς νίκης τὸ κήρυγμα, ἀλλὰ τῷ Πεισιστράτῳ ἀνέθετο.

book 60b ὅπως] ἡνίκα· ἢ ἀντὶ τοῦ “ὡς”.

book 61 ἀγαθῇ] εἰρωνεία.

book 62a ταῦτ’] οὕτως.

book 62b ἐλοιδορούμεθα] ἐφιλονεικοῦμεν.

book 65

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ πάππου: ἀντὶ τοῦ “ἐκ τοῦ πάππου” ἤγουν τοῦ ἐμοῦ πατρὸς Φείδωνος κλῆσιν ἐτιθέμην τῷ υἱῷ Φειδωνίδην.

book 66a τέως μὲν οὖν: μέχρι μὲν οὖν χρόνου τινὸς ἐκρινόμεθα καὶ διεμαχόμεθα καὶ ἠμφισβητοῦμεν περὶ τῆς κλήσεως. εἶτα κοινῇ καὶ κοινῶς συνέβημεν καὶ ὡμογνωμονήσαμεν καὶ Φειδιππίδην ἐθέμεθα.

book 66b ἐκρινόμεθ’] ἐμαχόμεθα.

book 67 ξυνέβημεν] ὡμογνωμονήσαμεν.

book 68a ἐκορίζετο: ὡς κορίδιον ἤτοι κόριον, μικρὸν βρεφύλλιον ὁτὲ μὲν ταῖς ἀγκάλαις περιφέρουσα, ὁτὲ δὲ ταῖς χερσὶ μικρὸν ἀναπάλλουσα, ἔλεγε δῆθεν (69) εἰς εὐμοιρίαν τινὰ συμβησόμενα τῷ παιδί· ὅταν σὺ μέγας ὢν ἤτοι ἀνὴρ γενόμενος, ἢ μᾶλλον εὔμοιρός τις καὶ περίβλεπτος ἐφ’ ἅρματος ὀλυμπιονίκης (70) ἢ θριαμβονίκης ἐλαύνων πρὸς πόλιν καὶ τὴν ἀκρόπολιν, ξύστιδα καὶ πορφυροῦν ἐνδεδυμένος ἱμάτιον, ἢ ξυστίδα ὡς πορφυρίδα ὑποκοριστικῶς.

book 68b ἢ λαμβάνους’ ἐκορίζετο.

book 68c λαβοῦς’] ἡ γυνή.

book 68d ἐκορίζετο] ἐκολάκευε.

book 69 ὅταν] ποτέ.

book 70 ξυστίδ’ ἔχων] πορφυροῦν ἱμάτιον φορῶν.

book 70,col.2 ξυστίδ’] πορφυρίδα.

book 71a τὰς αἶγας ἐκ τοῦ φελλέως: Φελλεύς τις καλούμενος τόπος ἐν ταῖς Ἀθήναις ὑπῆρχεν. ἀλλὰ καὶ περὶ τὸν Διόνυσον ἦν τις ἑορτὴ Φελλὸς καλουμένη, ἥτις ἀρχομένων τῶν Διονυσίων ἐγίνετο. ἄλλως: Φελλεὺς τόπος ἐστὶν ἐν τῇ Ἀττικῇ κισσηρώδης, τραχὺς καὶ λιθώδης, ὅθεν καὶ Φελλεὺς ἐπεκλήθη· Δωριεῖς γὰρ φελλεάτας καλοῦσι τοὺς τραχυτάτους τόπους. καὶ αἱ αἶγες δὲ τοὺς παρακρήμνους τόπους διώκουσιν.

book 71b ὅταν] ποτέ.

book 71c τοῦ φελλέως] ὄνομα τόπου.

book 71d ἐκ τοῦ φελλέως] ἐξάγης.

book 72a διφθέραν ἐνημμένος: οὐχ ὑφαντὸν ἐνδεδυμένος ἱμάτιον, προβάτου δὲ δέρμα, ποιμενικὸν ἄμφιον.

book 72b ἐνημμένος] ἐνδεδυμένος.

book 74a ἵππερόν: ἀλλὰ κατέχεέ μου, φησί, τῶν χρημάτων ὥσπερ νόσον τινὰ ἴκτερον τὸν ἵππερον, καὶ τὴν ἐπιθυμίαν τὴν ἱππικήν, νόσον ὀδυνηράν τινα καὶ δαπανηρὰν καὶ τὰ χρήματά μου ἐξαναλοῦν δυναμένην.

book 74b ἵππερόν] ἵππουρον.

book 74c ἵππερόν] ἱππικὸν ἔρωτα καὶ ἱππικὴν νόσον· παρ’ ὑπόνοιαν οἱονεὶ ἴκτερον.

book 75a νῦν οὖν ὅλην τὴν νύκτα: νῦν οὖν, φησίν, ὅλην τὴν νύκτα ἐπαγρυπνῶν τε καὶ βουλευόμενος βουλὴν ἀμυδρὰν καὶ παραίνεσιν μίαν σωτήριον εὕρηκα ἐμοί τε καὶ τοῖς ἐμοῖς χρήμασιν, ἥτις ἐστὶ τὸ Φειδιππίδην πεῖσαι παρὰ Σωκράτει φοιτᾶν, ὅπερ εἰ γένοιτο, σῴζομαι. οὗτός ἐστιν ὁ νοῦς τοῦ παρόντος χωρίου, ὁ (76) δὲ ῥητορικῶς εἶπε τροπικωτέρως ὡς ἐπὶ ὁδοῦ· “ἀτραπόν” καὶ πάνυ στενώτατον μονοπάτιον.

book 75b ὁδοῦ] μεθόδου.

book 76a ἀτραπὸς ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ τρέπω, τὸ λεγόμενον μονοπάτιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 76b ἀταρπὸν] πρόφασιν, βουλήν.

book 76c ὑπερφυᾶ] συνετήν.

book 77a ἣν] εἰς.

book 77b ἀναπείσω] μετελθεῖν.

book 77c τουτονί] τὸν παῖδα.

book 77d τουτονί] ἐλθεῖν.

book 78 ἀλλ’ ἐξεγεῖραι: ὅλην τὴν νύκτα φροντίζων ὁ Στρεψιάδης καὶ βουλευόμενος, πῶς τὸν υἱὸν ἀποπαύσει τῆς ἱππικῆς καὶ ἑαυτῷ σωτήριος γένοιτο, (79) ἐφεῦρε μόλις τὸ πεῖσαι τοῦτον παρὰ Σωκράτει φοιτᾶν. νῦν οὖν σκοπεῖ καὶ τοῦτο μετὰ τῶν ἄλλων, ὅπως ἂν αὐτὸν ἀλύπως ἐξεγείρῃ κοιμώμενον καὶ τὴν συμβουλήν τε καὶ παραίνεσιν εἴπῃ, ἵνα μὴ ἀηδῶς ὁ νέος τὰ περὶ τῆς εἰς (80) τὸν Σωκράτην ἀφίξεως δέξηται, καὶ ὑποκορίζων αὐτὸν καλεῖ φιλικῶς τε καὶ κολακικώτερον· Φειδιππίδη, Φειδιππίδιον. ὁ δέ· τί, ὦ πάτερ; φησίν. (81) καὶ ὁ Στρεψιάδης· φίλησόν με τοῖς χείλεσι καὶ δός μοι τὴν χεῖρα τὴν δεξιὰν εἰς πίστωσιν δῆθεν, ὡς ποιήσειας, ἅ σοι ἐρῶ, καὶ οὐκ ἀτελῆ ταῦτα ἐάσειας.

book 81a κῦσόν] φίλησον.

book 81b τὴν … δεξιάν] εἰς πίστωσιν δῆθεν ἅ σοι ἐρῶ.

book 82a ἰδοὺ τί ἐστιν: ἃ ὁ πατὴρ ἐνετείλατο ποιήσας ὁ Φειδιππίδης φησίν· ἰδού, ἅ μοι ἐκέλευσας πεποιηκέναι, πεποίηκα. τί ἐστι τοῦ λοιποῦ καὶ εἰς τίνα σκοπὸν ταυτὶ ἀποβλέπει; τὸ δὲ “ἰδοὺ τί ἐστιν” παρεπιγραφὴ καλεῖται τὸ σχῆμα. ἃ γὰρ ἀνωτέρω οὐκ ἔγραψεν ὅτι πεποίηκεν ὁ νεανίας, τὸ φιλῆσαι δηλονότι τὸν πατέρα καὶ δοῦναι τούτῳ τὴν δεξιάν, ἐν τῷ εἰπεῖν νῦν· ἰδοὺ τί ἐστιν, παρεπιγράφει καὶ τῇ γραφῇ τῇδε δείκνυσιν, ὅτι πεποίηκεν. “ἰδού” δὲ εἰς τὸ “δού” ὀξεῖα ἢ βαρεῖα πρὸς τὴν συνέπειαν, οὐ μὴν δὲ περισπωμένη, ὅτι πᾶσα δίφθογγος τελικὴ εἰς υ λήγουσα καὶ ἐφ’ ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται πλὴν τοῦ “ἰού” ἀντὶ τοῦ “φεῦ”, “ἰδού” ἀντὶ τοῦ “ἄρτι” καὶ “οὔ” ἀπαγορευτικόν.

book 82b ἰδοὺ] παρεπιγραφή.

book 83 νὴ τὸν Ποσειδῶ τὸν ἵππιον: ἱππικῆς ἔφορον λέγουσι τὸν Ποσειδῶνα, (84) καὶ ὁ Φειδιππίδης ὡς ἱππικὸς αὐτὸν ὄμνυσιν. ὁ Στρεψιάδης δὲ καὶ ἵππου ἀκούειν ὄνομα βδελυττόμενος, ἀνθ’ ὧν ἱππεύοντι τούτῳ πολλὰ τῆς ἱππικῆς ἐξωνούμενος τὸν βίον καὶ τὴν περιουσίαν ἀνήλωσε· μή μοι, φησί, τὸν ἱππικὸν (86—88) ὄμνυ θεὸν, ἀλλ’ εἰ ἐγκαρδίως ἐμὲ φιλεῖς, πιθοῦ μοι καὶ ἔκστρεψον τοὺς σαυτοῦ τρόπους ἤτοι πάρες τὸ φιλεῖν ἱππικήν. δείκνυσι δ’ ἐκ τοῦ περιφαινομένου τῆς οἰκίας καὶ μετεώρου καὶ τὸ σωκρατικὸν οἰκίδιον, καὶ δεῖται αὐτοῦ ἐκεῖσε παρὰ τοῖς φιλοσόφοις ἀπέρχεσθαι καὶ μαθεῖν τὸν ἥττονα λόγον.

book 84a ἵππιον p.i.m.] τὸν τῆς ἱππικῆς ἔφορον. ἵππειος δὲ δρόμος, ὁ ἱππικός, δίφθογγος.

book 85 αἴτιός] ἐγένετο.

book 88 ἔκτρεψον (sic)] μετάβαλε.

book 89a ἃν ἐγὼ: δασυντέον τὸ “ἄν”· “ἅτινα” γὰρ “ἅν” ἐστιν.

book 89b παραινέσω] σε.

book 91 δεῦρο νῦν ἀπόβλεπε: τὸ “δεῦρο” παρ’ Ὁμήρῳ καὶ πᾶσι τοῖς παλαιοῖς ἀντὶ τοῦ “ἐνταῦθα” λαμβάνεται· δεῦρο πάροιθ’ ἐλθοῦσα, φίλον τέκος, ἵζευ ἐμεῖο, ὡς καὶ ὁ κωμικὸς οὗτος αὐτὸ ἐνταυθοῖ δέχεται. οἱ δὲ νεώτεροι ἀντὶ τοῦ “ἐλθέ” τοῦτο δέχονται· δεῦρό μοι ἐς φιλότητα· τί δὴ ῥοθίων ἀλεγίζεις;

book 92

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁρᾷς τὸ θυρίδιον: τὸ θυρίδιον, ὁ Τζέτζης φησί, γράψον καὶ τὸ οἰκίδιον, ἀλλὰ μὴ τῳκίδιον. ἰαμβικὸς γάρ, φησίν, ὁ στίχος ἐστὶν οὕτω μετρούμενος· ὁρᾷς/ τὸ θυρί/διον τοῦ/, συνίζησις, τὸ καὶ/ τὸ οἰ/κίδιον/, χορεῖος. εἰ δ᾽ οὐχ οὕτω μετρήσεις ἢ τῳκίδιον γράψεις, ἄμετρον ποιεῖς τὸν στίχον.

book 93 τί οὖν, φησὶ Φειδιππίδης, ἐτεὸν καὶ ἀληθῶς, τοῦτ᾽ ἔστιν, ὦ πάτερ; καὶ (94) ὁ Στρεψιάδης· ψυχῶν σοφῶν, λέγει, φροντιστήριον. μάτην ληροῦσιν μακρηγοροῦσιν ἐνταῦθα οἱ σχολιογράφοι. τοῦτο, φησίν, ἐστὶ φροντιστήριον καὶ τόπος, ᾧ καθήμενοι οἱ σοφοὶ φροντίζουσι περὶ ψυχῶν ἤτοι φιλοσοφοῦσιν. φιλοσοφία γάρ ἐστι μελέτη θανάτου, γνῶσις τῶν ὄντων καὶ τὰ λοιπά.

book 96a πνιγεὺς ἡ τῶν ἀνθράκων ἐστὶ κάμινος. διασύρων δὲ τὴν τῶν λεγόντων δόξαν, ὅτι πῦρ μὲν εἰς ἅπαν διελήλυθεν, ὧν ὕστερος ὢν καὶ ὁ Πλάτων ταὐτά (97) φησι, τούτοις παρηκολουθηκὼς παίζων φησὶ καὶ χλευάζων· “ἡμεῖς δὲ ἄνθρακες”. εἰ γὰρ κυκλοτερῶς κατ᾽ ἐκείνους τὸν πάντα κόσμον πῦρ περισφίγγει, ἡμεῖς δ᾽ ἐν μέσῳ τῷ περιπύρῳ κόσμῳ διάγομεν, ἄρα ἐσμὲν ἄνθρακες.

book 96b ἀναπείθουσιν] δεικνύουσιν.

book 96c πνιγεύς] κάμινος τῶν ἀνθράκων.

book 97 περὶ] τὴν κύκλῳ σχέσιν δηλοῖ ἡ περί.

book 98a ἀργύριον ἤν τις διδῷ: κακοηθείᾳ καὶ τρόπῳ διαβόλῳ κατὰ Σωκράτους Ἀριστοφάνης ταῦτά φησιν. οὐδεὶς γὰρ τῶν παλαιῶν οὔτ᾽ ἔγραφεν οὔτ᾽ ἐπαίδευε πρὸς ἀργύριον, πρῶτος δὲ Σιμωνίδης ἤρξατο μισθοῦ γράφειν καὶ Θεόδωρος ὁ καλούμενος ἄθεος ἀργυρίῳ παιδεύειν. Σωκράτης δὲ καὶ Ἱπποκράτης καὶ μετὰ τὸ μισθοῦ ἑτέρους γενέσθαι συγγραφομένους τε καὶ παιδεύοντας αὐτοὶ ἐλάμβανον οὐδὲν τούτων ἕνεκα, ἀλλ᾽ ὁ μὲν Σωκράτης δύο πίθους εἶχεν ἐν τῇ οἰκίᾳ, τὸν μὲν σίτου, οἴνου δὲ ἅτερον. ἐπικένου δέ τινος αὐτῶν γεγονότος τοῖς μαθηταῖς ἐκέλευε τοῦτον ἀναπληροῦν φάσκων· “ἀργύριον τηρεῖν οὐκ ἄγω σχολήν”. Ἱπποκράτης δὲ Ἀβδηρίταις μετακαλούμενος ἀργυρίου δέκα ταλάντοις θεραπεῦσαι δῆθεν Δημόκριτον· “ἐλεύσομαι”, εἶπεν, “ἀργύριον δὲ ἐμοὶ ἐρχομένῳ οὔτ᾽ ἂν φύσις οὔτε θεὸς πόροι, ὥστε μηδ᾽ ὑμεῖς. ἐᾶτε δὲ ἐλευθέρης τέχνης ἐλεύθερα τὰ μαθήματα· οἱ δὲ μισθαρνέοντες δουλοῦσι τὰς ἐπιστήμας”.

book 98b διδῷ] αὐτοῖς.

book 99a διασύρει τὸν Σωκράτην.

book 99b νικᾶν] ἐκεῖνον.

book 100,col. 2 ἐκκλίνει εἰπεῖν· φιλόσοφοι.

book 101,col. 2 μεριμνοφροντισταὶ] πολυπραγμονοζητηταί.

book 102a αἰβοῖ: σχετλιαστικὸν ἐπίρρημα. σχετλιάζει δὲ ὁ Φειδιππίδης ἀκηκοὼς παρὰ τοῦ πατρός, ὅτι δεῖ τὸν ἱππικώτατον καὶ τρυφερὸν καὶ αὐτῷ ἐράσμιον βίον μεταμεῖψαι εἰς βίον φιλόσοφον, ἄθλιον, ἐνδεῆ, ῥυπαρόν, σκληρὸν καὶ ἐπίπονον.

book 102b πόνηροι: ἐπίπονοι, ἄθλιοι, ταλαίπωροι· πονηροὶ δὲ δόλιοι.

book 102c ἀλαζὼν λέγεται ὁ ἄλῃ καὶ πλάνῃ ζῶν καὶ βίῳ ἀστάτῳ, ὡς οἱ φιλόσοφοι περὶ ἡλίου, σελήνης, ἀστέρων τε τῶν λοιπῶν καὶ πάντων ἁπλῶς ψυχρομύθους λόγους πλατύνοντες ἐναντίους καὶ μαχομένους ἀλλήλοις καὶ αὐτοὺς ἑαυτοῖς, μεγέθη τε τούτων καὶ ἀπὸ γῆς ἀποστάσεις καὶ οὐσίας καὶ φύσεις καὶ θέσεις καὶ σχήματα καὶ ἄλλα μυρία λαλοῦντες.

book 102d αἰβοῖ] φεῦ· σχετλιαστικὸν ἐπίρρημα.

book 102e πόνηροί] ἄθλιοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 102f ἀλαζόνας] τοὺς ἐν ἄλῃ καὶ πλάνῃ ζῶντας.

book 104a Σωκράτης καὶ Χαιρεφῶν: Σωκράτης ὁ Ἀθηναῖος φιλόσοφος Σωφρονίσκου λιθοξόου ὑπῆρχεν υἱός, τῶν δήμων Ἀλωπεκήσιος, καὶ αὐτὸς πρὶν λιθοξόος καὶ ἑρμογλύφος ἔργα μαρμάρου πεποιηκὼς εἰκόνας Χαρίτων, ὕστερον δὲ φιλοσοφίας φροντίσας πολλοὺς ἔσχεν ὁμιλητάς, ὧν πρῶτος ἦν Χαιρεφῶν, ὃς νυκτερὶς ἐκαλεῖτο καὶ πύξινος διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος καὶ ὠχρός.

book 104b ὧν] ἔξαρχός ἐστιν.

book 105a νήπιον τὸ βρέφος, παρὰ τὸ "νοῦν ἤπιον ἔχειν". νήπιος δὲ ὁ μωρός, παρὰ τὸ "νοῦ ἄπο πεφυκέναι".

book 105b ἤ ἤ] φεῦ.

book 105c νήπιον] μωρόν.

book 106a ἀλλ' εἴ τι κήδει: εἰ τῶν πατρῴων ἀλφίτων καὶ τῆς περιουσίας καὶ τῶν χρημάτων κήδει καὶ φροντίζεις καὶ φείδῃ, ἀποσχασάμενος καὶ ἀποδραμὼν τῆς ἱππικῆς τούτων γενοῦ μοι ἤτοι πρόσσχες ὁλοσχερῶς τούτοις καὶ φιλοσοφίαν διδάχθητι καὶ μᾶλλον τὸν ἥττονα λόγον αὐτόν. καὶ μὴν οὐδὲ ὁ ἥττων λόγος Σωκράτους, εὕρεμα εὕρημα δ' ἦν Πρωταγόρου καὶ δίδαγμα.

book 106b τῶν ... ἀλφίτων] τῆς πατρικῆς περιουσίας.

book 107a τούτων] ἀπό.

book 107b τούτων] τῶν φιλοσόφων.

book 107c γενοῦ μοι] εἷς, μαθητής.

book 107d σχασάμενος p.i.m.] ῥίψας, παύσας· ἀπὸ μεταφορᾶς τῶν κωπηλατῶν τῶν κρατούντων τὴν κώπην ἀργὴν κατὰ τὸ κωπηλατῆσαι.

book 108 οὐκ ἂν μὰ τὸν Διόνυσον: δυσχεράναντος Στρεψιάδου, ἀνθ' οὗ Φειδιππίδης πρὶν Ποσειδῶ ἵππιον ὤμοσε, νῦν ὀμνύει Διόνυσον, καὶ ὅτι χαρμονῶν καὶ τρυφῶν ὁ Διόνυσος αἴτιος καὶ ἱππεῖς δὲ καὶ διφρεύοντες καὶ μυρίοι ἑτέρων τινῶν ἐπιτηδευμάτων τοιούτων ἠγωνίζοντο καιρῷ τῶν Διονυσίων, ὥσπερ οἱ τραγικοὶ ποιηταὶ καὶ κωμικοὶ καὶ ἕτεροι. τὰ δὲ Διονύσια ἐτελεῖτο παυομένου χειμῶνος, ἀρχομένου δὲ ἔαρος.

book 109a φασιανούς, οὓς τρέφει Λεωγόρας: Λεωγόρας Ἀθηναῖος ἀνὴρ ἦν τρυφερός, ἱππικός τε καὶ ὀρνεοτροφῶν, καὶ πατὴρ Ἀνδοκίδου τοῦ ῥήτορος, ὡς τοῖς σχολιογράφοις τέως δοκεῖ. ἐμοὶ δὲ ἕτερός τις δοκεῖ πλούσιος καὶ ἱπποτρόφος φασιανοὺς καὶ κολχικοὺς ἵππους καλλίστους ἐκτρέφων. Φασιανοὶ δὲ οἱ Κόλχοι ἀπὸ τοῦ τὸν ποταμὸν Φάσιν περιρρέειν τὴν Κολχικήν.

book 109b φασιανοὶ δὲ λέγονται τὰ ζῷα, διότι ἐν τῷ Φάσιδι ποταμῷ εὑρέθησαν πρῶτον. ὁμοίως καὶ ὄρτυγες, διότι εὑρέθησαν ἐν τῇ Ὀρτυγίᾳ νήσῳ.

book 109c διασύρει τὸν Λεωγόραν, διότι ἦν ὀκνηρὸς ἐλθεῖν εἰς τὸν πόλεμον, ἔτρεφε δὲ μόνον ἵππους.

book 109d τοὺς φασιανούς] τοὺς ἵππους τοὺς κολχικούς.

book 110 ἴθ' ἀντιβολῶ: σαφῆ τὰ πάντα· τίς κενῶν χρεία λόγων; ἴθι δέομαί σου, καὶ διδάσκου παρὰ Σωκράτους τὸν ἥττονα λόγον, ὃς ἥττων λόγος καὶ ἀδικώτερα λέγων νικᾷ. τοῦτον οὖν εἰ μάθῃς τὸν ἥττονα λόγον, ἀντιλέγων τοῖς δανεισταῖς καὶ ἀντιδικῶν ἀφαρπάσῃ ἄν με τοῦ βάρους τοῦ τῶν χρεῶν, ἅπερ διὰ σὲ παρ' αὐτῶν ἐδανεισάμην. ἀντιδικοῦντος γὰρ σοῦ καὶ ἡττῶντος αὐτοὺς διὰ τοῦ ἥττονος λόγου, οὐδενὶ αὐτῶν οὐδ' ἄχρις ὀβολοῦ ἀποδοίην. ψεύδεται δὲ κἀνταῦθα ὁ κωμικὸς καὶ τοῦτο διαβολῇ τοῦ Σωκράτους εἰπών. ὡς γὰρ ἔφην καὶ προλαβών, ὁ ἥττων λόγος οὐχὶ Σωκράτους ἐστίν,

book 110 ἀλλ' εὕρεμά εὕρημά τε καὶ δίδαγμα Πρωταγόρου τοῦ Ἀβδηρίτου.

book 111 σοι] ἕνεκα, λόγῳ σου.

book 112 τὼ λόγω] τοὺς λόγους.

book 113a τὸν κρείττον'] ἤγουν τὸν δίκαιον.

book 113b ὅστις] οἷος.

book 113c ὅστις ἐστί] οὐκ οἶδα.

book 113d τὸν ἥττονα] τὸν ἄδικον.

book 119 οὐκ ἂν πιθοίμην: τὸ “πι” ἰῶτα, ἐκ τοῦ πιθῶ περισπωμένου ῥήματος ἀττικοῦ. ὁ δὲ νοῦς· οὐκ ἄν σοι πεισθείην, ὦ πάτερ, ἀπελθεῖν παρὰ τοῖς γλισχροβίοις καὶ ῥυπαροῖς καὶ ὠχριῶσι καὶ αὐχμῶσι φιλοσόφοις, ὥστε τι διδάσκεσθαι παρ' αὐτῶν. εἰ γενοίμην γὰρ τῆς φιλοσόφων διαγωγῆς, οὐκ ἀνασχοίμην ἂν τοὺς ἡλικιώτας ἱππέας ἰδεῖν οὐδαμῶς διακεκναισμένος τὸ χρῶμα, ἤτοι ὠχρὸς γεγονὼς καὶ ῥυπώδης καὶ αὐχμῶν καὶ κατάξηρος, ὁποῖοι ἐκεῖνοι.

book 120a τοὺς ἱππέας] τοὺς συνηλικιώτας.

book 120b διακεκναισμένος] τεταλαιπωρημένος διὰ τὸ φιλοσόφως ζῆν.

book 121a οὐκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ' ἐμῶν ἔδει: οὐκ ἄρα, μὰ τὴν εὑρέτιν καὶ χορηγὸν ἁπάντων καρπῶν Δήμητραν, ἔδει καὶ φάγῃς καὶ διατραφείῃς ἀπὸ τῶν ἐμῶν οἴκων ἢ χρημάτων, οὔτε σὺ οὔτε ὁ σὸς ζύγιος ἵππος, μέσος δεξιὸς καὶ μέσος ἀριστερός, οὔτε ὁ σαπφόρας καὶ σειραφόρος καὶ οἱονεὶ παρήορος, καὶ ἀκραῖος δεξιὸς καὶ ἀκραῖος ἀριστερός, ἀλλ' ἐξελῶ σε θύραζε καὶ ἐκτὸς τῆς ἐμῆς οἰκίας ἐς κόρακας, μακρὰν εἰς ἐρημίαν καὶ ἀπροόπτους τινὰς τόπους, οὗ διάγουσι κόρακες, ἢ εἰς κατάβρωμά σε παρεάσω κοράκων ὀρνέων, ἢ εἰς τὸν τόπον σε τῆς Ἀττικῆς ἐκβαλῶ τὸν καλούμενον Κόρακας, οὗ τοὺς κακουργοὺς ἐτιμωροῦντο, ἢ ἐκβαλῶ σε περινοστεῖν τόπον ἐκ τόπου ἐπ' ἀνελπίστοις ἐλπίσι τρεφόμενον, ὥσπερ ποτὲ Βοιωτοὶ Θρᾳξὶ γεγονότες ἀνάστατοι καὶ περὶ ἀποικίας χρησάμενοι καὶ ἀκηκοότες ἐκεῖ κατοικῆσαι, οὗ ἂν λευκοὺς ἴδωσι κόρακας, περιενόστουν ἐπ' ἀνελπίστοις τῇδε κἀκεῖσε περιπλανώμενοι, ἕως ἐν Θετταλίᾳ γενόμενοι περὶ κόλπον τὸν παγασιτικὸν ἐθεάσαντο ξενωτέρας τύχης συμβάματι ἡλίου κόρακας ἱεροὺς περιιπταμένους λευκοὺς γεγονότας ἐν περιχρίσει τῇ

book 121a γύψου τῇ μέθῃ τῶν παιδαρίων τῶν ἱερέων καὶ ἀφεθέντας ἐκεῖ περιίπτασθαι· οὗ τότε οἱ ἄνδρες κατῴκησαν.

book 121b τῶν γ' ἐμῶν ἔδῃ] ἀπὸ τῶν ἐμῶν ἔδει καὶ φάγῃς.

book 122a ὀνόματα ἵππων· λέγει δὲ τὰ ὑπόσελλα.

book 122b αὐτὸς] σύ.

book 122c ὁ ζύγιος] ἵππος.

book 122d ὁ σαπφόρας] ἵππος.

book 123 ἐξελῶ] ἐξελάσω.

book 124a ἀλλ' οὐ περιόψεταί με ὁ θεῖος Μεγακλῆς ἄνιππον: ἀλλ' οὐ παραβλέψεταί με ὁ θεῖος Μεγακλῆς ἄνιππον ὁρῶν με Ἀλκμαίονα τὸν τούτου (125) πατέρα ζηλοῦντα τὸν τρισολυμπιονίκην τεθρίππῳ γενόμενον. ἀλλ' εἰσελεύσομαι τῇ οἰκίᾳ, ἐξ ἧς ἐμὲ τῇδε πρὸς τὴν αἴθουσαν καὶ τὸ ὕπαιθρον καὶ τὸ ἡλιακὸν ταύτης μέρος ἐξήγαγες γενησόμενον ἐντεῦθεν κατόπτην οἰκιδίου ὑποψύχρων οἰκτροβίων ἀνθρώπων ἀλούτων καὶ αὐχμηρῶν.

book 124b περιόψεταί] ἴδῃ.

book 125a ἄνιππον] μὴ ἔχοντα ἵππον.

book 125b εἴσειμι] εἰσελεύσομαι.

book 126a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ οὐδ’ ἐγὼ μέντοι: σὺ μὲν οὐ φροντιεῖν ἐμοῦ λέγεις, ἀλλ’ οὐδ’ ἐγὼ κείσομαι καὶ ἀργὸς ἔσομαι, πεσὼν ἤτοι κατερρᾳθυμηκώς, ἀλλ’ εὐξάμενος θεοῖς διδάξομαι ἤτοι δώσω ἐμαυτὸν διδαχθῆναι. τὸ “διδάξω” ἐνεργητικὸν καὶ τὸ “διδάξομαι” παθητικὸν καὶ τὸ μέσον ἀμφοτέρων, τοῦ τε ἐνεργητικοῦ καὶ τοῦ παθητικοῦ, ὡς τὸ “ἐποιησάμην, ἐγραψάμην”, τῶν πασιδήλων εἰσίν. ἄλλως: περὶ τούτων δὲ νῦν ἀκουστέον. Ἀττικοὶ τὴν “διδάξω” φωνὴ τοῖς διδασκάλοις λέγειν προσάπτουσι, πατράσι δὲ καὶ δεσπόταις τὴν “διδάξομαι”· διδάξομαι τὸν παῖδα, διδάξομαι τὸν δοῦλον, ἤτοι δώσω διδαχθῆναι. καὶ τοῦτο δὲ τῆς μέσης ἐστὶ διαθέσεως. χρῶνται γὰρ αὐτῇ ὡς ἐπιπολὺ Ἀττικοί.

book 126b πεσών] ἀθυμήσας.

book 126c κείσομαι] ἀργὸς ἔσομαι.

book 127 διδάξομαι] διδαχθῶ.

book 128 εἰς τὸ φροντιστήριον] εἰς τὸ σχολεῖον τὸ τῶν φιλοσόφων.

book 129a γέρων ὢν κἀπιλήσμων καὶ βραδύς: πῶς οὖν, φησί, γέρων ὢν καὶ διὰ τὴν ἐκ γήρως ψυχρότητα ἐπιλήσμων, ἔτι δὲ καὶ τὴν φύσιν οὐκ εὐφυὴς καὶ ταχύς, ἀλλὰ βραδὺς καὶ βραδύνους ὑπάρχων καὶ ἀφυής, πῶς μαθήσομαι καὶ νοήσω σκινδαλμοὺς σκινδαλάμους καὶ περιλογίας λεπτῶν λόγων καὶ ἀκριβῶν; ἀκριβῶν δὲ οὐ δυσχερῶν καὶ δυσκόλων, ἀλλ’ ἄχρι βαιοῦ καὶ τοῦ σμικροτάτου πολυπραγμοσύνην ἐχόντων. σκινδαλμὸς σκινδάλαμος δὲ ἡ λεπτολογία, ἀπὸ τῶν πάνυ λεπτοτάτων ξυσμάτων ξύλων τε καὶ καλάμων. ἀλλ’ ἐνόρκως ὑμῶν, ἀκροαταί, δέομαι μὴ κατὰ τοὺς παλαιοὺς σχολιογράφους τῆς βίβλου τὴν εὐθεῖαν “σκινδαλμός” γράφοιτε ὀξυτόνως, τὰς δὲ λοιπὰς τῶν πτώσεων βαρυτόνως, ἀλλ’ ἢ τὰς πτώσεις ἁπάσας βαρυτόνους ἢ πάσας ἐπὶ τέλους ἐχούσας τὸν τόνον. εἰ δ’ οὔ, κατ’ αὐτοὺς καὶ τὸ “βροτολοιγούς” καὶ τὰ ὅμοια “βροτολοίγους” γράφετε· ὃ μὴ συμβαίη ποτὲ γεγονέναι Τζέτζου ἀκροαταῖς καὶ ἀτρεκείας

book 129a κανόνων φροντίζουσιν.

book 129a, col. 2 ἀλλὰ μὴ γράφοιτε “σκινδαλαμός” ὀξυτόνως κατὰ τοὺς παλαιοὺς σχολιογράφους, ἀλλὰ προπαροξυτόνως.

book 129b ταῦτα πορευόμενος πρὸς τὸν Σωκράτην φησὶν ἐν ἑαυτῷ.

book 130a ἀκριβῶν] λεπτῶν.

book 130b σκινδαλαμοὺς] λεπτολογίας· κυρίως τὰ ξύσματα τῶν καλάμων.

book 130b, col. 2 σκινδαλάμους] λεπτολογίας.

book 131a ἰτητέον: πορευτέον, βαδιστέον πρὸς τὸ σωκρατικὸν δηλονότι φροντιστήριον. ἰτητέον δὲ ἐκ τοῦ ἴω, τὸ πορεύομαι, ἀττικῇ παραγωγῇ ἴτω καὶ ἰτῶ περισπωμένως, ὡς τύπτω, τυπτῶ, καὶ ἐξ αὐτοῦ ἰτητέον.

book 131b (132) στραγγεύομαι: ταλαιπωροῦμαι, ναρκῶ, βραδύνω· ἀλλ’ οὐ κόπτω καὶ κρούω, τὴν θύραν, ὥστε τὴν σωκρατικὴν οἰκίαν ἀνοιχθῆναί μοι. ταῦτα εἰπὼν ἅμα κόπτει τὴν θύραν καὶ καλεῖ· παῖ, παῖ· νῦν οὐ δοῦλε, ἀλλὰ παιδίον.

book 131c ἐκ μεταφορᾶς τῶν ἀγγείων τῶν κατὰ στράγγα ῥεόντων. ἰστέον δέ, ὅτι οὐκ ἔστι συλλαβὴ ἑτέρα, ἵνα ἔχῃ γράμματα πλέα παρὸ ἡ στράγξ.

book 131d ἰτητέον] πορευτέον.

book 131e ἔχων] διανοούμενος, κακοπαθῶν.

book 131c, col. 2 ἔχων] κακοπαθῶν.

book 131f στραγγεύομαι] βραδύνω, διατρίβω, ἀναβάλλομαι.

book 131d, col. 2 στραγεύομαι] ἀναβάλλομαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 132a κόπτω] καὶ κρούω.

book 132a, col 2 ἀλλ'] καί.

book 132b παῖ] ὦ.

book 133a βάλλ' ἐς κόρακας: ἀγροικικώτερον τοῦ Στρεψιάδου τὴν σωκρατικὴν θύραν κόψαντος δυσχεράνας φησὶν ὁ μαθητής· βάλλ' ἐς κόρακας, ἤτοι ἄπελθε εἰς ὄλεθρον καὶ φθοράν. περὶ δὲ τῆς "ἐς κόρακας" παροιμίας πλατυτέρως ἐγραψάμην ἀνωτέρω. καὶ διαφορὰν τοῦ κόπτειν, ψοφεῖν καὶ κλαυσιᾶν ἐν τῷ δράματι τοῦ Πλούτου προειρήκη.

book 133a, col 2 καὶ προεγράφη πλατικώτερον ἡ παροιμία αὕτη ἀνωτέρω. καὶ διαφορὰν τοῦ κόπτειν καὶ κλαυσιᾶν καὶ ψοφεῖν ἐν τῷ δράματι τοῦ Πλούτου προειρήκειμεν.

book 133b βάλλ' ἐς κόρακας] ἄπελθε.

book 134a Κικυννόθεν: Κίκυννα δῆμος ἦν Ἀθηναίων τῆς Ἀκαμαντίδος φυλῆς, ὅθεν ἦν ὁ Στρεψιάδης.

book 134b Κικυννόθεν] δῆμος τῆς Ἀττικῆς.

book 134c Κικυννόθεν] τῆς φυλῆς.

book 135a ἀμαθής: ἀπαίδευτος, βάρβαρος τὸν τρόπον, ἄκοσμος καὶ ἀρύθμιστος.

book 135b ὅστις] εἶ.

book 136a ἀπεριμερίμνως: ἀφροντίστως καὶ ἀπροσκόπως, ὡς μὴ ἐς φιλοσόφου, ἀλλ' ἐς πανδοκεῖον ἐλθὼν τὴν θύραν λελάκτικας, ἤτοι ἔκρουσας ἀπαιδεύτως, ὥσπερ ὄνος λακτίσματι.

book 136b ἀπεριμερίμνως] ἀμαθῶς, ἀπείρως.

book 137a καὶ ἐξήμβλωκας καὶ ἀτελὲς γενέσθαι πεποίηκας τὸ νοηθῆναι φροντιζόμενον ἡμῖν νόημα. ἐξαμβλοῦν δὲ κυρίως ἐστὶ τὸ τὰς ἐν γαστρὶ ἐχούσας γυναῖκας ἀτελῆ ἐκτιτρώσκειν τὰ ἔμβρυα. ἐπίτηδες δὲ ὁ κωμικὸς ἠθικῶς φιλοσόφους ὀγκηρολέκτας ἀπομιμούμενος ὑψηλαῖς καὶ τροπικωτέραις ἐχρήσατο λέξεσιν. ἀλλὰ κἀνταῦθα τοῦ ἤθους πολὺ τοῦ Σωκράτους διήμαρτε (πάνυ γὰρ ἀφελῶς καὶ ἰδιωτικώτερον Σωκράτης ἐποιεῖτο τὰς ὁμιλίας), εἰ μή που ἄρα τοὺς σωκρατικοὺς μαθητὰς διαπαίζων καὶ τὸ τῶν νέων μωρόσοφον οὕτως εἰρήκει.

book 137b οἱονεὶ ἔγκυος ἦν καὶ ἠφάνισεν αὐτὸν καὶ οὐκ ἐγέννησεν.

book 137c φροντίδ'] ἤτοι νόημα, θεώρημα, σκέψιν.

book 137d ἐξήμβλωκας] ἀτελῆ ἐποίησας.

book 137e ἐξευρημένην] ἐπινενοημένην.

book 138a σύγγνωθί μοι: συγγνώμων γενοῦ μοι καὶ πραότερος,

book 138a, col 2 σύγγνωθί μοι: συγγνώμων καὶ πραότερος ἐμοὶ γενοῦ,

book 138a κἄν τι πλημμελὲς καὶ ἐπταισμένον διεπραξάμην· τηλοῦ γὰρ οἰκῶ: ἤτοι ἐπὶ τῶν ἀγρῶν, τουτέστιν ἀγρότης εἰμὶ καὶ χωρικὸς χωριτικὸς ἄνθρωπος καὶ τῶν (139) ἀστικῶν ἐθῶν ἄπειρος. ἀλλ' εἰπέ μοι τὸ ἐξαμβλωθὲν καὶ διαφθαρὲν παρ' ἐμοῦ πρᾶγμα, ἤγουν τί ἐστιν ὅπερ διέφθειρα καὶ ἠφάνισα.

book 138b τῶν] ἐπί.

book 138c ἀγρῶν] ἀγρόν.

book 139 τοὐξημβλωμένον] διεφθαρμένον, ἀτελές.

book 140a ἀλλ' οὐ θέμις: οὐ νόμιμον, φησί, τοῖς φιλοσόφοις ἡμῖν ἐστι λέγειν ταῦτα ἀλλοτρίοις πλὴν μόνοις τοῖς μαθηταῖς. κἀνταῦθα ὡς φθονεροὺς διαβάλλει (141) τοὺς φιλοσόφους. καὶ ὁ Στρεψιάδης πρὸς τὸν μαθητὴν τοῦ Σωκράτους φησί· κἀμοὶ τὸ λοιπὸν ὡς ἑνὶ τῶν σωκρατικῶν διαλέγου καὶ λέγε περὶ τοῦ (142) πράγματος καὶ μὴ ὡς ἀλλοτρίῳ ἀνθρώπῳ· ἐγὼ γὰρ ἐνταυθοῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς γενοίμην (143) σωκρατικὸς μαθητὴς παραγέγονα. καὶ ὁ μαθητής· θαρρήσας, φησί, λέξω, σὺ δὲ ὥσπερ μυστήρια ἔχε ταῦτα παρ’ ἑαυτῷ ἀνέκφορα καὶ ἐχεμυθούμενα (144) καὶ μηδενὶ ἀλλοτρίῳ λέγων αὐτά. εἶτα τοῦ λόγου κατάρχεται καί φησιν· (145) ἠρώτησεν ὁ Σωκράτης τὸν αὐτοῦ μαθητὴν Χαιρεφῶντα διὰ ψύλλαν τὸ (146) ζωΰφιον, ζωΰλλιον, πόσα ἑαυτῆς ἰχνόποδα ἅλλεται. δακοῦσα γὰρ ἡ ψύλλα τὴν (147) ὀφρῦν τοῦ Χαιρεφῶντος ἐπὶ τὴν κεφαλὴν ἀπεπήδησε Σωκράτους. ἀστείως ὁ κωμικὸς τοιαῦτα μικροπρεπῆ καὶ ὑπόψυχρα τῶν φιλοσόφων ζητήματα διαπαίζει. διασύρει δὲ καὶ τὸ δασύοφρυ Χαιρεφῶντος καὶ τὸ φαλακρὸν Σωκράτους. τοιοῦτοι γὰρ ἦσαν. ὁ δὲ Χαιρεφῶν πρὸς τῷ δασύοφρυς εἶναι καὶ

book 140a ὠχρὸς ὑπῆρχε καὶ μέλας, ὅθεν καὶ νυκτερὶς ἐκαλεῖτο καὶ πύξινος. ἀδελφοῦ δὲ τοῦ Χαιρεφῶντος νῦν ἔχθραν οἱ παλαιοί φασιν ἐξηγηταὶ καὶ χρησμοὺς ὑποψύχρους καὶ περὶ χρησμῶν μακρηγορίαν ψευδῆ καὶ ἀπρόσφορον.

book 140b ἀλλ’ ... λέγειν] κατασυρμὸς τῶν μαθητῶν Σωκράτους.

book 144a ἀνήρετ’] ἠρώτησεν.

book 144b Σωκράτης] ὁ.

book 145a ψύλλαν] περὶ τήν.

book 145b ὁπόσους ... πόδας] πόσα ἑαυτῆς ἴχνη ἅλλεται.

book 146 διασύρει τούτους, διότι ἦν ὁ Χαιρεφῶν δάσοφρυς καὶ ὁ Σωκράτης φαλακρός.

book 147 ἀφήλατο] ἐπήδησεν.

book 148a πῶς δῆτα, φησί, διεμέτρησεν ὁ Σωκράτης τὸ μεταξὺ χωρίον, τὸ ἀπὸ τῆς ὀφρύος Χαιρεφῶντος μέχρι τῆς ἑαυτοῦ φαλάκρας; καί φησιν ὁ μαθητής· δεξιώτατα, ἤτοι περιδεξίως καὶ εὐφυῶς καὶ σοφῶς. καὶ τὸ “δεξιώτατα” κατὰ μίμησιν ὑψηγορίας φησὶ φιλοσόφων καὶ τὸ “ἐνέβαψεν” καὶ τὰς λοιπὰς ἅς φησι λέξεις, πῇ μὲν ὑψηγόρως ἁπλῶς, πῇ δὲ τοῖς τροπικοῖς ὑψουμένας. (149) ὁ δὲ νοῦς· κηρὸν διατήξας, δεψήσας, λεάνας, μαλάξας, μαλθάξας, εἶτα κρατήσας τὴν (150) ψύλλαν ἐνέβαψε καὶ προσεκόλλησε τῷ κηρῷ τὼ πόδε καὶ τοὺς πόδας αὐτῆς. (151) καὶ εἶτα ψυγείσῃ καὶ ἀποξηρανθείσῃ τῇ ψύλλῃ περιέφυσαν καὶ ἐφάνησαν καὶ ἐνετυπώθησαν περσικαί, νῦν ἴχνη τῆς ψύλλης. εἰσὶ δὲ αἱ περσικαὶ εἶδος ὑποδήματος καὶ εἶδος δένδρου ὁμοίως, ὅθεν καὶ παίζει ὁ κωμικὸς τὸ μὲν (152) “περιέφυσαν” ὡς ἐπὶ δένδρου εἰπὼν ἀντὶ τοῦ “ἐφάνησαν”, τὸ δὲ “ταύτας ὑπολύσας ἀνεμέτρει τὸ χωρίον” ὡς ἐπὶ ὑποδημάτων ὑπολυομένων. ὁ δὲ νοῦς· τὸν κηρὸν τὸν ὑποδεξάμενον τὸν τῆς ψύλλης ποδῶν τύπον τεμὼν τούτῳ χρώμενος ὥσπερ πήχει ἢ μέτρῳ ἑτέρῳ τινὶ ἀνεμέτρει τὸ χωρίον.

book 148a (146) ἃ δὲ οἱ πρὸ ἡμῶν ἐξηγηταὶ τῇδέ φασι, διδακτέον σοι. ἐκ τοῦ “δακοῦσα (147) τὴν ὀφρῦν Χαιρεφῶντος” καὶ “τὴν κεφαλὴν τοῦ Σωκράτους” γράφουσιν· “ἰστέον, ὅτι αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους”. οὐκ ἔστι δὲ οὕτως ἔχον, ὡς οἱ ἄνδρες φασίν. αὐτοπρόσωπον δὲ κωμῴδημα γίνωσκε εἶναι τὸ τὸν κωμῳδούμενον αὐτοπρόσωπον ἄγεσθαι εἰς τὸ θέατρον καὶ δείκνυσθαι τοῖς θεαταῖς καὶ τῆς καθ’ ἑαυτοῦ κωμῳδίας κατήκοον γίνεσθαι, ὡς ὅταν δημεύοιντο οἱ πιπράσκοντες φαύλως τι τῶν ὠνίων, τῶν κηρύκων βοώντων τὰς κατ’ αὐτῶν δυσφημίας. τὸ δὲ κατά τινων ἀπόντων λέγειν κωμῴδημα οὐκ ἔστιν αὐτοπρόσωπος κωμῳδία, κἂν καὶ κατὰ λεπτομέρειαν ἐκφραστικῶς τίς τινας κωμῳδήσειε.

book 148a (150) καὶ τοῦτο δὲ οἱ ἄνδρες φασίν· ὅτι “δυικὸν “τὼ πόδε” ἐπὶ τῆς ψύλλης κακῶς λέγεται· ἓξ γὰρ ἔχει πόδας”. καὶ τάχα τῇδέ τι φαίνονται λέγειν. ἀλλ’ ἀκροατέον νῦν καὶ ἡμῶν. ἢ δύο, φημί, τῆς ψύλλης πόδας ἐκόλλησεν, ἢ ἀττικῶς τὸ πληθυντικὸν δυικῶς εἶπεν. οὕτω γὰρ Ἀττικοὶ λέγουσιν· μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰς’ ἐν Ὀλύμπῳ ἆσσον ἰόνθ’, ὅτε κέν τοι ἀάπτους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χεῖρας ἐφείω. Ξάνθε τε καὶ σύ, Πόδαργε, καὶ Αἴθων Λάμπε τε δῖε, νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, καὶ ὦ Λύκιοι, πόσε φεύγετον;

book 148a τί χρὴ μακρηγορεῖν; ἐνώπιον τριῶν μαρτύρων πᾶν ῥῆμα σταθήσεται. (152) καὶ εἰς τὸ “ταύτας ὑπολύσας” πάνυ παιδιωδῶς ψυχρολογοῦσιν οἱ ἄνθρωποι “ἀδύνατον” λέγοντες “ψύλλαν ὑποδήματα φορέσαι” καὶ ὅσα ἄλλα τῷ μὴ συνιέναι ψυχρεύονται, περὶ ὧν ἡμεῖς πάνυ σαφεστάτως ἐγράψαμεν.

book 148b διεμέτρησε] τὸ χωρίον.

book 148c δεξιώτατα] ἐπιτηδειότατα.

book 149 διατήξας] μαλάξας.

book 151a ἤγουν τὰ ἴχνη τῆς ψύλλης, ἢ ὑποδήματα· οἱ γὰρ παλαιοὶ τὰ μεγάλα ἴχνη ἐκάλουν περσικά.

book 151b περιέφυσαν] ἐνετυπώθησαν, ἐφάνησαν.

book 151c περσικαί] εἶδος ὑποδήματος.

book 152 τὸ χωρίον] τὸ διάστημα.

book 153a λεπτότητος: λεπτογνωμοσύνης, σοφίας, φρονήσεως.

book 153b τῆς λεπτότητος] ἔξωθεν κατὰ τοὺς Ἀττικοὺς ἐπινοεῖται τὸ “φεῦ”.

book 154a εἰ πύθοιο Σωκράτους: εἰ ἀκούσειας, μάθοις.

book 154b τί δῆτ’ ἄν] εἴποις.

book 154c πύθοιο] μάθοις.

book 155a φρόντισμα: φροντίδα, ἐφεύρεσιν.

book 155b φρόντισμα] γρ. σόφισμα.

book 156a Σφήττιοι δῆμος Ἀκαμαντίδος φυλῆς. τὸ δὲ “ὁπότερα” ὁποτέρως καὶ πῶς. τὴν γνώμην ἔχει: ἤγουν νομίζει τὰς ἐμπίδας διὰ τοῦ στόματος φθέγγεσθαι ἢ διὰ τοῦ οὐρο[πυγίου] καὶ τοῦ πρωκτοῦ. ἐμπὶς δέ ἐστι ζωΰφιον κωνωπῶδες λευκὴν ζώνην ἔχον, διάγει δὲ τόποις *** καὶ ἑλώδεσιν. τὰ δὲ τοιαῦτα πάντα ζωΰλλια, ὡς κώνωπες, μυῖαι, μέ[λισσαι] *** [ἐγ]κέλαδοι, τέττιγες, καὶ εἴτι ἕτερον τοιουτότροπον, στόματι μὲν ἐσθίουσιν, *** ῥάχεως φθέγγονται ὀπῆς τινος φυσικῆς ὑπαρχούσης ἐν αὐτοῖς. οὗτ[ος] δὲ ὁ *** ἐπὶ τὸ ἀστεῖον καὶ γελοιότερον τὸν λόγον παράγων οὐ τῇ ῥάχει, τῷ δὲ οὐροπυγίῳ *** οὐροπύγιον δέ ἐστιν ὁ πρωκτὸς ἤτοι τὸ μακρὸν τῶν σπειρόντων ὀργάνων. κ[αλεῖται δὲ] τὰ τοιαῦτα [ζωΰφια] ἔντομά τε καὶ βομβύκια. ἔντομα μὲν διὰ τὴν ἐν τῇ ῥάχει αὐτῶν ἐντομὴν καὶ ὀπήν, δι’ ἧς φθέγγονται, βομβύκια δὲ διὰ τὸ βομβεῖν. μᾶλλον δὲ βομβύκια κυρίως καλεῖται κώνωψ καὶ μυῖα καὶ μέλισσα, σφὴξ καὶ ὅσα βομβεῖ, ἔντομον δὲ ὁ τέττιξ.

book 156b ὁ Σφήττιος: δηλονότι πικρὸς δῆμος τῶν Ἀθηναίων.

book 156c αὐτὸν] τὸν Σωκράτην.

book 156d Χαιρεφῶν] ὁ.

book 156e ὁ Σφήττιος] ἀπὸ τῆς σφηττίας χώρας.

book 157a ὁπότερα … ἔχει] πῶς διανοεῖται καὶ διαλογίζεται.

book 157b ἐμπίδας] εἶδος κώνωπος.

book 158a γράφεται καὶ μετὰ τῶν δύο ρρ, ἵν’ ᾖ ὀρροπύγιον.

book 158b οὐρροπύγιον κυρίως ὁ κῶλος τῆς ὄρνιθος.

book 158c κατὰ τὸ στόμ’] διὰ στόματος.

book 159 ἐμπίδος] κώνωπος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 160 ἔφασκεν εἶναι τοὔντερον: ψυχροφυσικεύεται διαπαίζων τοὺς φιλοσόφους, πῶς αἱ ἐμπίδες διὰ τοῦ πρωκτοῦ φθέγγονται, καί φησι· στενόν ἐστι τοὔντερον τῆς ἐμπίδος καὶ διάλεπτον. διαλέπτου δὲ ὄντος αὐτοῦ ἡ πνοὴ χωρεῖ πρὸς τὸ οὐροπύγιον ἤτοι τὸν πρωκτόν. τοῦτον δὲ κοῖλον καὶ στενὸν πεφυκότα ἠχεῖν βιαζομένου τοῦ πνεύματος πρὸς τὴν ἐκφορὰν τῇ τοῦ πρωκτοῦ στενότητι καὶ κοιλότητι.

book 161 αὐτοῦ] τοῦ ἐντέρου.

book 162 εὐθὺ] ἐξ ἴσου.

book 163a κοῖλον] τὸν πρωκτόν.

book 163b κοῖλον] ὄντα.

book 163c στενῷ] τῷ ἐντέρῳ.

book 166a ὦ τρισμακάριος: καταγελῶν τῶν φιλοσόφων τὰ ἐπὶ τοιούτοις τισὶ ψυχρὰ φυσικεύματα διαπαίζει καί φησι τῷ δοκεῖν· ὦ τρισμακάριος ἕνεκα τῆς διεντερεύσεως καὶ φυσιολογίας τῆς περὶ τῶν ἐντέρων τῶν τῶν ἐμπίδων. ὁ γὰρ τοιαῦτα λεπτὰ ἐρευνῶν πῶς οὐκ ἂν τῷ βίῳ γένοιτο χρήσιμος; καὶ δικαστηρίῳ εἰ τύχοι κρινόμενος, πῶς οὐκ ἂν καταδίκην ἐκφύγοι, εἰ χρῷτο λεπτολογίαις τοιαῖσδε; τοιάδε μὲν ἡ εἰρωνεία καὶ τὰ ἐν σχήματι, τὸ φῶς δὲ τοῦ λόγου καὶ ἡ ἀλήθεια· ὦ τρισάθλιος ἕνεκα τοῦ περὶ τοιούτων ἀσυντελῶν τῷ βίῳ καὶ ὑποψύχρων διερευνᾶν αὐτόν τε καὶ τοὺς λοιποὺς φιλοσόφους, ἑσπέρας δὲ γενομένης μηδ’ ἄρτου τρύφος ἔχειν φαγεῖν.

book 166b ὦ] ὡς.

book 166c τοῦ διεντερεύματος] παρ’ ὑπόνοιαν· τοῦ ἐπινοήματος.

book 167a φεύγων ὁ κατηγορούμενος, διώκων ὁ κατηγορῶν.

book 167b ἦ] ὄντως.

book 167c φεύγων] κατηγορούμενος.

book 168 δίοιδεν] ἀκριβῶς γινώσκει.

book 169a γνώμην μεγάλην: διάνοιαν περὶ φυσιολογίας μεγίστην ἀπώλεσεν ἐμποδισθεὶς ἀσκαλαβώτῃ. ἀσκαλαβώτης δὲ κυρίως ἐστὶ ζωΰφιον ὅμοιον μὲν σαύρᾳ, σμικρότερον δὲ καὶ σποδοειδές, ἀσκαλαβώτης καλούμενον παρὰ τὸ ἀναρριχᾶσθαι καὶ ἀνερπύζειν καὶ περιτρέχειν καὶ βαίνειν τοὺς τοίχους ῥᾳδίως καὶ ἀσκελῶς. τουτὶ τὸ ζωΰλλιον ἀσκαλαβώτης κυρίως καὶ λέγεται καὶ ἔστιν· νῦν δὲ οὗτος ἀσκαλαβώτην φησὶ τὴν μικρὰν καὶ πυρρὰν ἀγρίαν γαλῆν, οὐ τὸν αἴλουρον οὐδὲ τὴν ἥμερον γαλῆν, ἥτις ἐστὶν ἡ κτὶς καὶ ἡ κατίς, περὶ ἧς καὶ Ὅμηρος λέγει· κρατὶ δ’ ἔπι κτιδέην κυνέην εὔτυκτον ἔθηκεν.

book 169a ἀσκελῶς δὲ καὶ ἡ ἀγρία γαλῆ ἀναρριχᾶται καὶ περιτρέχει τοὺς τοίχους.

book 169b γνώμην] θεώρημα.

book 169c ἀφῃρέθη] ὑστερήθη.

book 170 ἀσκαλαβώτου] ἀπὸ τοῦ ἀσκελ〈ῶς βαίνειν τοὺς τοίχουσ〉.

book 170,col. 2 ἀσκαλαβώτου] γαλῆς.

book 171 τῆς σελήνης τὰς ὁδοὺς: ζητοῦντος καὶ ἀνασκοπουμένου φυσικεύσασθαι περὶ αὐξιμειώσεων καὶ δρόμων σεληναίων κατέχεσε τοῦ στόματος αὐτοῦ γαλεώτης ἐκ τῆς ὀροφῆς ἄνω βλέποντος τοῦ σοφοῦ κεχηνότως.

book 174 ἥσθην] ἐχάρην.

book 175 ἐχθὲς δέ γ’ ἡμῖν: ἀναλογώτερόν ἐστι τοῦ “χθές” τὸ “ἐχθές”· τὸ “χθές” γὰρ ἀφαιρέσει τοῦ ε γέγονεν, “ἐχθές” ὂν καὶ “χθές” γεγονός, “ἐχθές” δὲ λέγεται παρὰ τὸ ἐχθεῦσαι καὶ ἐκδραμεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν χθὲς ἡμέραν. Ἀττικοὶ δὲ ἀντὶ τῶν ψιλῶν δασέα τιθέασιν· ἐκθὲς ἐχθές, ἐπίσης ἐφίσης, τάχιον τᾶσσον θᾶσσον, καὶ τὰ ὅμοια. τὴν ἑσπέραν δάσυνε· πέρας γὰρ τῆς ἕω καὶ τῆς ἡμέρας ἐστίν. ἐντεῦθεν σημειοῦ καὶ ἡμερόνυκτον λέγειν, καὶ μὴ νυχθήμερον, βοώσης αὐτῆς καὶ λαλούσης τῆς ἑσπέρας· ὅτι πέρας καὶ τελευτὴ καὶ ὑστέρα τῆς ἕω καὶ τῆς ἡμέρας εἰμί.

book 176a εἶεν τί οὖν πρὸς ἄλφιτα: “τοῦτο”, φασὶν οἱ παλαιοὶ σχολιογράφοι, “καλεῖται ἀπόθεσις”. ἐγὼ δὲ παραπληρωματικὸν τοῦτο σύνδεσμον λέγω εἰς ἐπικόσμησιν τιθέμενον τοῦ λόγου τῆς φράσεως. ἀντὶ τοῦ “ἄγε, φέρε, ὑπαρχέτωσαν.” τί δ’ ἐπαλαμήσατο καὶ διεπράξατο πρὸς τἄλφιτα, τουτέστι πρὸς τὸ εὑρεῖν ἄρτον καὶ βεβρωκέναι, ὡς μὴ πεινῴη. οὕτως ἐγὼ παραπληρωματικὸν σύνδεσμον λέγω τοῦτο. ἀπόθεσις δέ ἐστι τὸ ἀπὸ ἐννοίας εἰς ἔννοιαν μεταβαίνοντα λέγειν· ἀλλὰ ταῦτα μὲν οὕτως ἔχουσιν, εἴποιμεν δὲ περὶ τῶνδε· ἢ ἐατέον ταυτί, μεταβατέον δ’ εἰς τά.

book 176b διεπράξατο. ἁρμοδία ἡ λέξις πρὸς τὰ ἄλφιτα, ὥς που τις ἅγιός φησιν· “οἰκείαις χερσὶν ὁ Θεὸς ἐπαλαμήσατο τὸν ἄνθρωπον”, ἤγουν ἔπλασεν.

book 176c εἶεν] ἄγε, φέρε.

book 176d ἐπαλαμήσατο] ἠγωνίσατο, ἐμηχανήσατο.

book 177 κατὰ τῆς τραπέζης: στακτὴν λεπτήν, φησίν, ἐκ πυρὸς κατὰ τῆς τραπέζης πάσας, ὡς οἱ φιλόσοφοι εἰώθασι ποιεῖν ἐπ’ ὀστράκου λεπτίστατα κατατριβέντος σχηματογραφεῖν, οὕτω δεδρακὼς καὶ Σωκράτης καὶ χέας τὴν τέφραν κατὰ τῆς τραπέζης, καὶ κάμψας καὶ κυρτώσας ὀβελίσκον εἰς ἅρπαγος δίκην, εἶτα λαβὼν διαβήτην, τὴν πυράγραν, τὸ ἐργαλεῖον, ᾧ τοὺς κύκλους διαγράφομεν, ἔδει εἰπεῖν· διαιρέσεις ἐποίει, ὡς οἱ φιλόσοφοι ἐπὶ τοῦ οὗ εἶπον τετριμμένου ὀστράκου, ἢ ἐσχηματογράφει, ὡς φιλόσοφοι ἅμα καὶ γεωμέτραι ποιοῦσι, καὶ τούτοις ἠσχολημένοι τῆς πείνης καὶ τοῦ λιμοῦ παραψυχὴν μικρὰν ἐλαμβάνομεν· οὕτως εἰπεῖν ἔδει, ὁ δὲ παρ’ ὑπόνοιαν ἕνεκα τοῦ γελοίου φησί·

book 177 καταπάσας τῆς τραπέζης τέφραν Σωκράτης εἶτα κυρτώσας ὀβελίσκον ἐκ τῆς παλαίστρας δι’ αὐτοῦ ἥρπασε τὸ ἱμάτιον. κωμῳδεῖ δὲ τὸν Σωκράτην, ὡς φιλόνεον καὶ περὶ παλαίστρας διατρίβοντα. κλεπτικὴ δὲ Σωκράτους πολὺ ἀποδέει, ἕνεκα δὲ τοῦ γελοίου καὶ τὴν κλοπὴν ἱματίου τῇ κωμῳδίᾳ προσήρμοσεν.

book 178a διότι, ὡς λέγουσιν, ὃς τελεῖται τὰ γεωμετρικά, οὐκ ἔχει ὄρεξιν τοῦ φαγεῖν.

book 178b διαβήτην] διαδέτην.

book 179a 179] παρ’ ὑπόνοιαν.

book 179b ὑφείλετο] ἔκλεψε.

book 180a τί δῆτ’ ἐκεῖνον τὸν Θαλῆν: ἐνταῦθα μηδὲν προσφυὲς εἰπεῖν ἔχοντες οἱ γράψαντες πρὸ ἐμοῦ φασιν ἅπερ φασίν. σὺ δὲ σαφῶς τε ὁμοῦ καὶ συντόμως καὶ προσφυῶς τῇ ἐννοίᾳ νῦν ἄκουε. ὁ Θαλῆς οὗτος σοφὸς Μιλήσιος ἦν ἰσόχρονος τῇ τῶν σοφῶν ἑπτάδι τῇ κατὰ Σόλωνα. καὶ πρῶτος Ἑλλήνων σελήνης ἔκλειψιν, μᾶλλον δὲ ὑποσκίασιν μέλλουσαν γεγονέναι τοῖς περὶ Ἀλυάττην προεῖπεν. καὶ τὸν Κροῖσον δὲ μὴ περαιωθέντα τὸν Ἅλυν πεπερακέναι πεποίηκε μηνοειδέσιν 〈ἡμι〉 κυκλίοις μηνισκοκύκλοις τῶν τάφρων ὀρύγμασιν. ὡς οὖν κἀνταῦθα ὁ Στρεψιάδης τὸ περὶ τῆς ἐνδείας καὶ τῆς τοῦ ἱματίου κλοπῆς μηχάνημα τὸ γεγονὸς τάχα παρὰ τοῦ Σωκράτους κατήκουσεν, ἐκπλήττεται καί φησι·

book 180a τί δῆτα τὸν Θαλῆν ἐκεῖνον θαυμάζομεν τοιαῦτα ἐπὶ τοῦ Κροίσου μηχανησάμενον, νῦν τοῦ Σωκράτους μηχανωμένου τοιαῦτα; ἰστέον δέ σοι, ὅτι διττῶς γράφεται· Θάλης Θάλητος, καὶ Θαλῆς Θαλοῦ.

book 180b τί δῆτ’] ἔκλειψιν ὅλην.

book 181a ἀνύσας] σπεύσας.

book 181b, col 2 τὸ φροντιστήριον] τὴν σχολήν.

book 183a μαθητιῶ γάρ: ἐπιθυμῶ γὰρ μαθητὴς γεγονέναι, δηλονότι Σωκράτους.

book 183b μαθητιῶ] μαθεῖν ἐπιθυμῶ.

book 184a ὦ Ἡράκλεις: ὦ ἀλεξίκακε Ἥρακλες. ἀνεῴξαντος τοῦ μαθητοῦ εἰσελθὼν Στρεψιάδης καὶ ἰδὼν τοὺς ἐκεῖ καθημένους μαθητὰς ὠχροὺς καὶ ἀμόρφους καὶ ἄντικρυς ἀνθρώπων σκιὰς ῥυπαρούς τε καὶ τἄλλα ἀνεβόησεν (185) ἐκπλαγείς· ποδαπὰ τὰ θηρία καὶ ζῴδια ταῦτά εἰσιν; καὶ ὁ μαθητής· τί (186) ἐθαύμασας; τίνι σοι ὅμοιοι δοκοῦσιν; καὶ ὁ Στρεψιάδης· ὅμοιοί μοι δοκοῦσι τοῖς τριακοσίοις Λάκωσιν αἰχμαλώτοις τοῖς ἐκ Πύλου, οὓς Κλέων πολιορκῶν πρῶτα μὲν λιμῷ εἷλεν, εἶτα καὶ εἱρκτὴ κατασχοῦσα ὡς εἴδωλα ἀνθρώπων πεποίηκε φαίνεσθαι.

book 184a οἱ πρὸ ἐμοῦ δὲ καὶ τὴν Πύλον κακῶς λέγουσι τρεῖς ἐπωνυμίας ἔχειν, Πύλον καὶ Κορυφάσιον καὶ Σφακτηρίαν. σὺ δὲ τὴν μὲν Σφακτηρίαν νῆσόν μοι γίνωσκε, πόλεις δὲ τὸ Κορυφάσιον καὶ τὴν Πύλον.

book 184b ὦ Ἡράκλεις] φεῦ.

book 184c ποδαπὰ τὰ θηρία] εἶδε γὰρ τοὺς μαθητὰς ὠχρούς.

book 185 τῷ] τίσι.

book 186 ἱστορία: ἡ Πύλος ἦν ὑπόφορος τοῖς Λάκωσι, μετὰ δὲ ταῦτα ἀπεσκίρτησεν. πέμψαντες οὖν τὸν Κλέωνα οἱ 〈Ἀθηναῖοι τοὺς〉 Λάκωνας ἐκράτησαν τοὺς ἐν τῇ Πύλῳ ὄντας καὶ ἐμάστιξαν καὶ ἐν τῇ φυλακῇ ἐνέβαλον. ταῦτα δὲ πάσχοντες ἐγένοντο ὅσα καὶ νεκροί.

book 187 ἀτὰρ τί ποτε: ὁ “ἀτάρ” παραπληρωματικὸς ἀντὶ τοῦ “δή”· τί δήποτε, φησὶν ὁ Στρεψιάδης ἰδὼν τούτους, οὗτοι συννοίᾳ πρὸς γῆν βλέπουσιν; εἰπόντος δὲ τοῦ μαθητοῦ, ὅτι ζητοῦσι τὰ κατὰ γῆς ἤτοι σκοποῦσιν ἐφευρεῖν φυσιολογίας τῶν ὑπογέων, νομίσας δῆθεν ὡς ἀγρότης περὶ βολβῶν τούτους σκοπεῖν· μὴ νῦν, φησί, περὶ βολβῶν σκοπεῖτε καὶ φροντίζετε. ἐγὼ γὰρ οἶδα, ποῦ καλοὶ καὶ μεγάλοι βολβοὶ φύονται. βολβοὶ δέ εἰσιν εἶδός τι κρομμυῶδες παρεμφερὲς πάνυ κρομμύοις σμικροῖς, οὓς πολλοὶ τῶν ἀπόρων ἀνερευνῶντες ἐσθίουσιν. τινὲς δὲ οὐκ ὀρθῶς ἐνόμισαν βολβοὺς τὰ οἶδνα καλεῖσθαι, ἅ τινες μὲν ἐκ τοῦ ὕω, τὸ βρέχω, διὰ τοῦ υ ψιλοῦ γράφουσι, Τζέτζης δὲ διὰ τῆς οι διφθόγγου, ἐκ τοῦ οἰδαίνω· οἰδαίνοντα γὰρ καὶ ἐξογκούμενα ταῦτα σχίζει τὴν γῆν καὶ ἐξέρχεται. τῷ Δημοκρίτῳ δὲ κεφαλοβαρῆ ταῦτα καλεῖται, ἑτέροις δὲ βασσάραι. βασσάραι δὲ σὺν αὐτοῖς λέγονται καὶ αἱ πόρναι καὶ αἱ ἀλώπεκες.

book 188 βολβοὺς] τὰ λεγόμενα οἶδνα ἢ κρόμμυα.

book 190 ἵν’ εἰσὶ] ὅπου φύονται.

book 191a οἱ σφόδρ’ ἐγκεκυφότες: ἑτέρους τῶν μαθητῶν πάνυ ἐγκεκυφότας (192) εἰς τὴν γῆν συννοίᾳ ὁρῶν· οὗτοι δέ, φησί, τί δρῶσιν; καὶ ὁ μαθητὴς λέγει· οὗτοι τὰ ὑπὸ τὸ ἔρεβος καὶ τὸν ὑπὸ τὴν ἔραν καὶ τὴν γῆν τόπον ἤτοι τὰ περὶ τῶν ὑπογέων καὶ τοῦ Ταρτάρου διφῶσι καὶ ἀνερευνῶσι τῇ διανοίᾳ ὡς φυσιολογήσαιέν (193) τι περὶ τούτων. ἐπεὶ δὲ ὁ πρωκτὸς τῶν κάτω κεκυφότων πρὸς τὸ ἄναντες εἴωθε φέρεσθαι· ὁ πρωκτὸς αὐτῶν τί, φησί, πρὸς τὸν οὐρανὸν (194) βλέπει; καὶ ὁ μαθητὴς ἕνεκεν τοῦ γελοίου παράγεται λέγων· αὐτοδιδάκτως (195) ἀστρονομίαν μανθάνει. εἶτ’ ἐπιστραφεὶς τοῖς συμφοιτῶσί φησι τοῖς ἔξω διὰ τὸν Στρεψιάδην βραχὺ ἐξελθοῦσιν· ἀλλ’ εἴσιτε καὶ εἰσέλθετε, ἵνα μὴ ἐκεῖνος ἤγουν ὁ Σωκράτης ἐνταῦθα ἡμῖν ἐπιτύχῃ. τὸ δὲ “ἐκεῖνος” σεβασμοῦ (196/7) καὶ ὑπεροχῆς νῦν καὶ τιμῆς. καὶ ὁ Στρεψιάδης· μήπω εἰσελθέτωσαν, μικρὸν δέ τι καρτερησάτωσαν, ἵν’ αὐτοῖς κοινώσω καὶ κοινῶς εἴπω πραγμάτιον ἐμὸν καὶ ὑπόθεσιν. πραγματίον παροξυτόνως ἀττικῇ

book 191a διαλέκτῳ.

book 191a,col 2

πραγμάτιον προπαροξυτόνως ἀττικῇ διαλέκτῳ, πραγματίον δὲ παροξύνεται τῷ καθόλου κανόνι.

book 191b οἵδε] οἱ ἄλλοι.

book 191c οἱ σφόδρ' ἐγκεκυφότες] οἱ φιλόσοφοι.

book 192 ἐρεβοδιφῶσιν ... Τάρταρον] ψηλαφῶσι τὰ περὶ τοῦ Χάους.

book 195a ὁ μαθητὴς πρὸς μαθητὰς λέγει.

book 195b εἴσιθ'] εἴσιτε. πρὸς τοὺς μαθητάς.

book 195c 'κεῖνος] ὁ Σωκράτης.

book 197 αὑτοῖσι] ὑμῖν.

book 198a ἀλλ' οὐχ οἷον καὶ οὐ δυνατὸν ἤτοι οὐ συγκεχώρηται ἡμῖν ἔξω διάγειν πολὺν χρόνον. εἶτα ὁ Στρεψιάδης ἑωρακὼς σφαῖραν ἐζωγραφημένην εἰς μίμημα οὐρανοῦ, καὶ γεωμετρικὸν καὶ περιηγήσεως πίνακα καὶ περὶ τούτων ἐρωτᾷ καὶ ἀκούει, καὶ πολλὰ ὡς ἀγρότης δῆθέν φησιν οὐκ ἄπωθεν γελοιαζούσης καὶ κωμικῆς χάριτος. περὶ γὰρ τοῦ πίνακος τοῦ τῆς γεωμετρίας ἐν τῷ ἐρωτῆσαι ἀκούσας, ὅτι γεωμετρία ἐστί, χρησιμεύει δὲ εἰς ἀναμέτρησιν γῆς, ἐρωτᾷ· μῶν τῆς κληρουχικῆς καὶ ἐξ ἀναγραφῆς διανεμηθείσης τισί; καὶ ἀκούσας, ὅτι χρησιμεύει πρὸς πάσης γῆς ἀναμέτρησιν, οὐχὶ τῆς κληρουχικῆς· ἀστεῖον, φησί, καὶ χάριεν καὶ πολιτείᾳ πρέπον τοῦτο τὸ δίδαγμα ὡς πρᾶγμα σοφόν.

book 198a εἶτα τοῦ μαθητοῦ καὶ περὶ τοῦ τῆς περιηγήσεως λέγοντος πίνακος καὶ χειρὶ παραδεικνύοντος ἕκαστα καί· αἵδε μέν, λέγοντος, Ἀθῆναί εἰσιν, ἐπεὶ δικαστὰς οὐχ ὁρᾷ ταῖς ἐζωγραφημέναις Ἀθήναις· οὐ πείθομαι, φησί, ταύτας εἶναι Ἀθήνας, ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους, τῷ οὕτω λέγειν τοὺς Ἀθηναίους διαβάλλων ὡς φιλοδίκους. ἐνισταμένου δὲ τοῦ μαθητοῦ καὶ λέγοντος· ὡς ἀληθῶς οὗτος ὁ τόπος Ἀθῆναί εἰσι, πάλιν ὁ Στρεψιάδης ἐρωτᾷ ψευδῆ τὸν μαθητὴν δῆθεν ἐλέγχων· καὶ ποῦ Κικυννεῖς εἰσιν οἱ ἐμοὶ δημόται, οἱ συναγρόται, οἱ γείτονες; οὕτω ταῦτα ἔχειν μοι νόει, καὶ μὴ ἐκ τοῦ "αἵδε μὲν Ἀθῆναι" μέχρι τοῦ "Κικυννεῖς οὑμοὶ δημόται" τοῦ Στρεψιάδου εἶναί μοι λέγε, καθώς τινες ὑπετόπασαν.

book 198b αὑτοῖσι] ἡμῖν.

book 201a αὑτηΐ] σφαῖραν δείκνυσιν.

book 201b αὑτηΐ] ἐπέκτασις.

book 202 τοῦτ'] ἤγουν ἡ γεωμετρία.

book 204 ἀστεῖον] καλόν, χάριεν.

book 205 δημοτικὸν] καὶ πρέπον τῇ πολιτείᾳ.

book 206a αὕτη] χωρογραφίαν δείκνυσιν.

book 206b γῆς] τῆς.

book 206c περίοδος] ἡ.

book 206d περίοδος] ἤγουν ἡ περιήγησις.

book 208 208] διασύρει τοὺς Ἀθηναίους, διότι συνίστων πάντοτε δικαστήρια.

book 209 ὡς] γίνωσκε.

book 211a ἐνταῦθ' ἔνεισιν: ἐνταῦθα, φησὶν ὁ μαθητής, ὑπάρχουσι καὶ οἱ Κικυννεῖς. ἡ δέ γε Εὔβοια ἤτοι ὁ Εὔριπος παρατεταμένη καὶ μακρά ἐστι τῷ σχήματι τῆς ζωγραφίας πόρρω πάνυ τῶν Ἀθηνῶν οὖσα, ὅθεν διὰ τὸ ἐπιμήκης εἶναι καὶ ἡ παρ' αὐτῇ Μάκρις Μάκρις ἐκλήθη. καὶ ὁ Στρεψιάδης τὸ "παρατεταμένη" δῆθεν οὐ νοήσας ἐπὶ τοῦ μακροῦ σχήματος τῆς ζωγραφίας εἰρῆσθαι, ἀλλ' ἐπὶ

τῆς τάσεως καὶ αὐξήσεως τῶν φόρων καὶ τῶν τελῶν· οἶδα, φησίν, ὅτι παρατεταμένη καὶ βαρυνθεῖσά ἐστι τοῖς φόροις· ὑφ’ ἡμῶν γὰρ καὶ τοῦ Περικλέους ἐβαρύνθη τοῖς τέλεσιν. κατασχόντος γὰρ Περικλέους πολέμῳ τοὺς Ἄβαντας βαρεῖς αὐτοῖς ἐθέμεθα φόρους.

book 211b ἡ νῦν καλουμένη Μάκρις.

book 211c Εὔβοι’] Εὔριπος.

book 212a ᾐδὶ] καὶ αὕτη.

book 212b παρατέταται] ἐξήπλωται.

book 213 ἡμῶν] Ἀθηναίων.

book 214a ἀλλ’ ἡ Λακεδαίμων, φησί, ποῦ ἐστι; τοῦ μαθητοῦ δὲ εἰπόντος· ἐρωτᾷς· ὅτι ποῦ ἐστι; καὶ δακτυλοδεικτήσαντος, ὅτι αὕτη ἐστὶν αὑτηΐ ἐστιν ἡ Λακεδαίμων, (215) ὁ Στρεψιάδης ἰδὼν ἔγγιστα τῇ ζωγραφίᾳ—μακρὰν γὰρ ἀπέχουσιν ἀλλήλων τῷ τῆς ὁδοῦ διαστήματι—· λίαν ἐγγὺς ἡμῶν ἐστιν, ἔφη· φροντίζετε δὲ καὶ (216/’17) σκέψιν ποιήσασθε ταύτην μακρὰν πάνυ ἀφ’ ἡμῶν ἀπαγαγεῖν. ἀλλ’ οὐ δυνατόν ἐστιν, εἰπόντος τοῦ μαθητοῦ, τοῦτο ποιῆσαι καὶ παρασπάσαι δῆθεν τὴν ζωγραφίαν, πάλιν ὁ Στρεψιάδης φησὶ πρὸς ἣν αὐτὸς διάνοιαν λέγων· ἐὰν τοῦτο οὐ δράσητε, βαρέως ἄρα οἰμώξετε. αἰνῶ δὲ αὐτὸς καθ’ ὑπερβολὴν τοῦ κωμικοῦ τὸ εἰρηναῖόν τε καὶ εὐσύμβουλον τὸ μετὰ μεθόδου δεινότητος· ἀστείοις γὰρ λόγοις καὶ παιγνιώδεσι νουθετεῖ τοὺς βαρεῖς Ἀθηναίους, οἷς οὐδεὶς ἐτόλμα περὶ εἰρήνης λόγους εἰπεῖν, καί φησιν ἐν μὲν τῷ λέγειν· δικαστὰς οὐχ’ ὁρῶ καθημένους, ἀπέχεσθαι πρὸς τοὺς συμπολιτευομένους μὲν καὶ ἰδίους ἐπηρειῶν καὶ δικῶν

book 214a καὶ θορύβων, πρὸς δὲ τοὺς ἀλλοτρίους πολέμων ἐμφυλίων τε καὶ βαρβάρων, ἐν τῷ νῦν μὲν λέγειν μακρὰν ἀποστῆσαι τῆς Ἀττικῆς Λακεδαίμονα ἤτοι τὸν λακεδαιμονιακὸν πόλεμον, ἐν τῷ εἰρηνεῦσαι δηλονότι· εἰ δ’ οὔ, βαρέως οἰμώξεσθε· ἀλλαχοῦ δὲ πολλαχοῦ, ἐν οἷς τε φέρει τὰς τριήρεις περὶ πολέμου καρχηδονικοῦ διαλεγομένας, καὶ οἷς φησι τὰς ἀφύας εὐώνους εἶναι, καὶ λέγει ἑρπέτω ὁ πόλεμος, καὶ ἐν Εἰρήνῃ καὶ Ἀχαρνεῦσι καὶ σχεδὸν αὐτοῦ πᾶσι δράμασιν. εἰρήνην γὰρ ἐν ἅπασι τούτοις καὶ πρὸς βαρβάρους ἔχειν φησὶν αἱρετώτερον ἢ πόλεμον ὀϊζυρὸν καὶ ἐπίπονον.

book 214b αὑτηΐ] δεικτικῶς.

book 215a ὡς] λίαν.

book 215b φροντίζετε] πρὸς τοὺς Ἀθηναίους· βουλεύεσθε.

book 218a φέρε: ἄγε· παραπληρωματικὸς σύνδεσμος περιττῶς κείμενος, ὥσπερ νῦν καὶ ὁ “γάρ” περιττῶς κεῖται. τίς οὗτος ού ’πὶ τῆς κρεμάθρας: εἰσελθὼν ὁ Στρεψιάδης ὁρᾷ τὸν Σωκράτην ἐκκρεμῆ καθήμενον ἐπὶ καλαθίσκου μετέωρον, ὥσπερ τι κρεᾴδιον τραπέζης ἀπόλειμμα διὰ τὰς μύας αἰωρηθὲν μεριδοκρύπτῃ καλάθῳ, ἵν’ ἑστίαμα ἐπιδείπνιον γένοιτο, καὶ ἰδὼν αὐτὸν οὕτω κρεμάμενον· τίς ἐστιν, ἐρωτᾷ, ὁ ἐπὶ τῆς κρεμάθρας; τὰ δὲ λοιπὰ σαφῆ, κατάδηλα. καὶ μὴ πείθου ψευδεῖ μακρηγορίᾳ τινῶν.

book 218b φέρε] ἄγε.

book 219 αὐτός] κατ’ ἐξοχὴν ὁ Σωκράτης.

book 220 οὗτος] ὦ.

book 223a ὦ ’φήμερε: βραχυχρόνιε, ἄνθρωπε, θνητέ, καὶ περὶ θνητῶν καὶ γηΐνων φροντίζων.

book 223b ’φήμερε] ἄνθρωπε.

book 224a κάτειπέ: κυρίως κατειπεῖν ἐστι τὸ “κατά τινος εἰπεῖν”. νῦν δὲ ἀττικῶς “κάτειπε” ἀντὶ τοῦ “εἰπέ”. μετὰ γὰρ προθέσεων Ἀττικοὶ λέγουσι· δίειπε, κάτειπε καὶ ἔξειπε καὶ τὰ ὅμοια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 224b κάτειπέ] ἀττικόν.

book 225a ἀεροβατῶ: μετέωρος καὶ ἐκκρεμὴς ἐν τῷ ἀέρι φέρομαι· καὶ περιφρονῶ τὸν ἥλιον: ἢ ἀντίπτωσις ἀττικὴ ἤτοι περὶ τοῦ ἡλίου φρονῶ καὶ λογίζομαι καὶ σκοπῶ, ἢ περιφρονῶ καὶ σκοπῶ καὶ περιεργάζομαι τὸν ἥλιον. εἰσάγει δὲ τὴν λέξιν ὁ κωμικὸς νῦν ἐπαμφοτερίζουσαν ἐσχηματισμένως αὐτὸν διασύρων εἰς ἀσέβειαν, ὡς νοεῖσθαι τὸ “περιφρονῶ”, ὅτι καταφρονῶ τοῦ ἡλίου, ὅπερ ἀσεβές ἐστιν. ὁ Σωκράτης δέ, ὥσπερ προεῖπον, εἰρήκει, ὅτι τὰ (226) περὶ τοῦ ἡλίου σκοπῶ. καὶ ὁ Στρεψιάδης ἀκούσας τῆς λέξεως τῆς “περιφρονῶ” πρὸς τὸ ἀσεβὲς τοῦτο δεξάμενός φησιν· ἔπειτα—περισσῶς κεῖται— ἀπὸ τοῦ ταρροῦ καὶ καλαθίσκου καταφρονητὴς γίνῃ σὺ τῶν θεῶν, ἀλλ’ οὐκ ἀπὸ (227) τῆς γῆς, εἴπερ—ἐλλειπτικῶς ἀττικῶς—καταφρονητὴς ἔμελλες εἶναι εἰς αὐτοὺς καὶ ἀσεβής; ὁ Σωκράτης δὲ πάλιν αὐτῷ ἀποκρίνεται πρὸς τὰ ἐφ’ οἷς

book 225a ἐκεῖνος σκοπῶν εἶπε τὴν λέξιν, οὐ πρὸς τὸν λόγον τοῦ Στρεψιάδου· οὐ γάρ ποτ’ (228—’30) ἄν, λέγων, ἀπὸ γῆς ἐσκόπησα περὶ τῶν τοιούτων ἄριστα, εἰ μὴ εἰς τὸν ἀέρα μετέωρος ἐγενόμην. τοὺς χαμερπεῖς γὰρ ἡ γῆ καὶ κάτω πεφυρμένους οὐκ ἐᾷ σοφόν τι νοῆσαι παρασπῶσα καὶ συνθολοῦσα τοῖς γεηροῖς τὰ νοήματα. οὕτως ἔχει ταυτί· τοῖς παλαιοῖς δὲ καὶ πρὸ ἡμῶν γράψασιν ἀσυντελῆ τῇδε καὶ μακρὰ λέγειν πάρες.

book 225b περιφρονῶ] περιεργάζομαι, λογίζομαι.

book 225c περιφρονῶ τὸν ἥλιον] ἤγουν τὰ τοῦ ἡλίου ἐξετάζω.

book 225d τὸν] τοῦ.

book 226a ἔπειτ’] παρέλκον.

book 226b ταρροῦ] ταλάρου, καλαθίσκου.

book 226c ὑπερφρονεῖς] καταφρονεῖς.

book 227 εἴπερ p.i.m.] ἤθελες, ἐβούλου ὑπερφρονεῖν τῶν θεῶν.

book 229 κρεμάσας] τὸν ἑαυτόν μου.

book 230 λεπτὴν] τήν.

book 231a εἰ δ’ ὢν χαμαί: εἰ δ’ ὤν, φησί, προσγειότερος περὶ τῶν μετεώρων (232) καὶ θείων ἐσκόπουν, οὐκ ἄν ποτε εὗρον τὸ ἀληθές· οὐ γάρ, ἤτοι οὔκουν, (233) ἀλλ’ ἡ γῆ βίᾳ: ὁ “ἀλλά” ἀντὶ τοῦ “γάρ”· ἡ γῆ γὰρ τὴν ἰκμάδα καὶ τὸ (234) ποριμώτατον τῆς φροντίδος καὶ τοῦ νοήματος ἕλκει πρὸς ἑαυτήν. πάσχει δὲ τοῦτο καὶ τὰ κάρδαμα: ἢ τὰ παρ’ ἡμῖν γνώριμα ἢ περσικὴ βοτάνη ἀγρία κάρδαμον καλουμένη. νῦν δὲ τὴν σκάφον γνώριμον βοτάνην φησίν, ἥτις πλησίον ἑτέρων λαχάνων φυεῖσα ἑλκτικὴν ὑγρότητος ἔχουσα δύναμιν ἐπισπᾶται τὴν τῶν ἐγγὺς λαχάνων ἰκμάδα καὶ ἀποξηραίνει αὐτά, ἐκείνη δὲ θαλερῶς ἐπαυξάνει. ἕνεκα δὲ τοῦ γελοίου τὸ τῶν καρδάμων παράδειγμα ἔφερε. καὶ ὁ Στρεψιάδης (236) ἀκούσας, ὅτι ἡ γῆ ἕλκει τὴν ἰκμάδα καὶ τὸ λεπτὸν καὶ ποριμώτατον τοῦ νοήματος πρὸς ἑαυτήν—τοῦτο δὲ ποιεῖ καὶ τὰ κάρδαμα, ὡς εἴπομεν, ἕλκοντα πρὸς ἑαυτὰ τὴν ὑγρότητα τῶν γειτνιώντων λαχάνων—καὶ θέλων εἰπεῖν, ὅτι καὶ τὰ κάρδαμα ἕλκουσι τὴν ἰκμάδα πρὸς ἑαυτά, ὡς δῆθεν ἀγρότης καὶ ἀμαθὴς διεφθαρμένως ἀνερωτᾷ οὕτως· ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ’ εἰς τὰ κάρδαμα;

book 231b κάτωθεν] ἀπὸ τῆς γῆς.

book 232a οὐ γάρ] οὐδαμῶς.

book 232b ἀλλ’] γάρ.

book 232c βίᾳ] ἐν.

book 234a ἀπὸ τοῦ τὴν καρδίαν ἀμύσσειν· καρδίαν δὲ λάβε τὸν στόμαχον, ἐξ οὗ καὶ καρδιωγμός, ἡ τοῦ στομάχου ὀδύνη.

book 234b πάσχει] ἐνεργεῖ.

book 234c ταὐτὸ] τοῦτο.

book 236 ἕλκει] ἀδιανόητον.

book 239a ἦλθες δὲ κατὰ τί: ἐκ τῆς κρεμάθρας κατελθὼν ὁ Σωκράτης ἐρωτᾷ Στρεψιάδην· κατὰ τί ἤγουν διὰ ποίαν ἦλθες αἰτίαν; καὶ ὁ Στρεψιάδης· (240) βουλόμενος μαθεῖν λέγειν ἤτοι ἀντιλέγειν καὶ δικάζεσθαι· ὑπὸ γὰρ τόκων (241) καὶ χρήστων—νῦν καταχρηστικῶς παραχρηστικῶς δανειστῶν—ἄγομαι καὶ ἕλκομαι εἰς δικαστήρια, φέρομαι καὶ ἀνάρπαστος βαστάζομαι καὶ εἰς ἐνέχυρα ἀκουσίως τὰ χρήματα ἐμοῦ ἀφαιροῦμαι. χρήστης καὶ δανειστὴς διαφέρει· καὶ δανειστὴς μὲν ὁ πρὸς τὸ λαβεῖν τόκους ἢ καὶ ἄνευ τόκων διδοὺς δάνεια, χρήστης δὲ ὁ διδοὺς ἱμάτιά τινι ἢ ἀργυρώματα ἢ καὶ τοιαῦτά τινα πρὸς χρῆσιν βραχεῖαν, ἵνα πάλιν ἀπολάβῃ ταῦτα συντόμως.

book 239a νῦν δὲ καταχρηστικῶς παραχρηστικῶς χρήστας τοὺς δανειστὰς εἶπεν. οὕτω γίνωσκε ταῦτα παραλιμπάνων τοὺς παλαιούς. τὸ ἄγομαι φαμὲν ἐπὶ τῶν ἑλκομένων αἰχμαλώτων ἢ ἑλκομένων εἰς δικαστήριον. τὸ δὲ φέρομαι ἐπὶ τῶν μετεώρων βασταζομένων.

book 239b διασύρει αὐτόν, διότι οὐκ ἠπίστατο ἀντιλέγειν ὡς οἱ ῥήτορες.

book 239c λέγειν] τὸν λόγον, ἀντιλέγειν.

book 241a ἄγομαι] ἕλκομαι.

book 241b τὰ χρήματ’] διά.

book 241c ἐνεχυράζομαι] εἰς ἐνέχυρα ἀφαιροῦμαι.

book 242 πόθεν δ’ ὑπόχρεως: ὥσπερ τις ἰατρὸς ἐρωτᾷ νοσοῦντά τινα· πῶς ἔλαθες σαυτὸν ἐς τόδε τὸ νόσημα περιπεσών; κἀκεῖνος αὐτῷ ἀποκρίνεται, οὕτω καὶ νῦν ὁ Σωκράτης ἐρωτᾷ Στρεψιάδην, πῶς ἔλαθεν ἑαυτὸν ὑπόχρεως (243) γενόμενος. καὶ ὁ Στρεψιάδης ὡς νοσῶν ἀποκρίνεται· νόσος, λέγων, ἱππική με ἐπέτριψεν ἤγουν συνέτριψεν, ἀπώλεσε δεινὴ εἰς τὸ φαγεῖν καὶ καταδαπανῆσαι (244—’46) πράγματα. ἀλλὰ δίδαξόν με τὸν ἥττονα λόγον τὸν μηδὲν ἀποδιδόντα, τουτέστιν ὃς τὰ χρέα οὐκ ἀποδίδωσιν, ἀλλ’ ὅμως νικᾷ· μισθὸν δ’ ὅντινα πράττῃ καὶ ἀπαιτεῖς με ὀμοῦμαι καὶ ὀμνύω τοὺς θεοὺς καταθεῖναι καὶ δοῦναί σοι. πολὺ δὲ νῦν ἁμαρτάνει τοῦ ἤθους Σωκράτους καταψευδόμενος. ὁ Ἱπποκράτης γὰρ καὶ ὁ Σωκράτης μισθὸν παρ’ οὐδένος οὐδένα ἐλάμβανον, πλὴν ὁ Σωκράτης μόνον σῖτον καὶ οἶνον ἐλάμβανεν ἐκ τῶν αὐτοῦ φοιτητῶν. Σιμωνίδης δὲ πρὸ αὐτῶν πρῶτος ἀργυρίου ἀπήρξατο πᾶν καὶ πράττειν καὶ φθέγγεσθαι, ὅπερ ὁ ἄθεος Θεόδωρος διεδέξατο. Κόρακι δὲ τῷ ῥήτορι τοῦτο εἶπε Τισίας μισθὸν ῥητορικοῦ διδάγματος ἀπαιτούμενος· ὄμνυμι θεοὺς ἀποδοῦναί σοι

book 242 μετὰ τὸ μαθεῖν, ὃν ἂν ἀπαιτῇς με μισθόν. οἰκονομικῶς δὲ νῦν ἐπὶ Σωκράτους τοῦτό φησιν ὁ Ἀριστοφάνης ἀσεβῆ τοῦτον ἀποδεῖξαι βουλόμενος. ὀμνῦντος γὰρ Στρεψιάδου θεοὺς μετὰ τὸ μαθεῖν λέγειν καταθεῖναι αὐτῷ τὸν ταχθέντα (247—’49) μισθὸν ὁ Σωκράτης φησίν· ἡμῖν νόμισμα καὶ νομιζόμενον οὔκ εἰσι θεοί. καὶ ὁ Στρεψιάδης ὡς ἀγρότης πάλιν καὶ ἀμαθὴς εἰσάγεται γελοῖα φθεγγόμενος πρὸς τὴν νόμισμα φωνὴν λέγων· ὦ Σώκρατες, ἆρα τὸ νόμισμα οἱ φιλόσοφοι δοκεῖτε θεὸν καὶ τούτῳ ὀμνύετε ἢ σιδηροῖς νομίσμασιν, ὥσπερ ἐν Βυζαντίῳ; σιδαρέοισιν: τὸ “δα” μακρόν· καὶ ἔστιν ὁ στίχος τροχαϊκός. πρῴην οἱ Βυζάντιοι σιδηρῷ, φασίν, ἐχρῶντο νομίσματι. ὁ νοῦς δέ, ὃν φθείρουσιν, οὗτός ἐστι· φησὶ Στρεψιάδης· τῷ νομίσματι, Σώκρατες, ὄμνυτε οἱ φιλόσοφοι;

book 242 ἢ ἐν “σιδηρέοις λέβησι” δέον εἰπεῖν, “ὥσπερ οἱ Σκύθαι” ἐν τῷ ὀργεμπαίῳ, ὅστις σιδηρᾶ λεκάνη ἐστίν, εἶπεν· “ὥσπερ ἐν Βυζαντίῳ”. ἰστέον δέ, ὡς Βυζάντιος μόνον κύριον ὄνομα καὶ Βυζάντιον, τὸ Βυζαντίδιον ὑποκοριστικῶς, ι, τἄλλα δὲ πάντα δίφθογγα γράφεται, Τζέτζης

βυζάντειος, βυζάντειον πόλισμα καὶ Βυζάντειον ἄνευ τοῦ τεθῆναι πόλισμα. διὰ δὲ τὴν ἀμαθεστάτην μιαρὰν κουστωδίαν γράφω ποτὲ καὶ αὐτὸς κατ’ αὐτούς.

book 243 δεινὴ φαγεῖν] ἤγουν πολυδάπανος.

book 244 τοῖν σοῖν λόγοιν] τῶν σῶν λόγων.

book 246a πράττῃ] εἰσπράττῃ.

book 246b πράττῃ] ἀπαιτεῖς.

book 246c καταθήσειν] παρασχεῖν.

book 248a νόμισμ’] νομιζόμενον, φρόντισμα.

book 248b τῷ] τίνι.

book 249a ᾗ] ὄντως.

book 249b σιδαρέοισιν] νομίσμασιν.

book 249c ἐν Βυζαντίῳ] ὤμνυον.

book 249c, col. 2 Βυζαντίῳ] Βυζαντείῳ.

book 250 βούλει τὰ θεῖα πράγματα: πάρες τὰ τῶν προτέρων, ἡμῶν δὲ νῦν ἄκουε. πεποίηται νῦν ὁ Σωκράτης τῷ κωμικῷ ἀπὸ τοῦ εὐσεβεῖν μετάγων εἰς ἀσέβειαν Στρεψιάδην· βούλει, λέγων, εἰδέναι τὰ θεῖα καὶ ἃ ὀρθῶς καὶ ἀληθῶς θεῖά εἰσι καὶ ξυγγενέσθαι καὶ εἰς ὁμιλίαν καὶ γνῶσιν ἐλθεῖν τῶν λόγων τῶν ἡμετέρων θεῶν, Νεφελῶν; καὶ ὁ Στρεψιάδης συγκατατίθεται καί· μάλιστά γε, φησί, θέλω. καθίζει τοίνυν αὐτὸν ἐπὶ σωκρατικοῦ σκίμποδος ἤγουν κλινιδίου ἢ ὀκλαδίου καὶ σκαμβόποδος θρόνου, οἷοι πολλοὶ παρά τε Θρᾳξὶ καὶ Βουλγάροις εἰσίν. ὁ σκίμπους δ’ οὗτος μεστὸς κόρεων, ἐφ’ οὗ τοῦτον ἱδρύσας αὐτῷ περιτίθησι στέφανον. εἶτα λαβὼν ὄστρακα τῆς κεφαλῆς ἀνωτέρω τοῦ Στρεψιάδου πρὸς ἄλληλα προστρίβων αὐτὰ τῷ ἀποπίπτοντι τούτων λεπτῷ δίκην παιπάλης καταπάττει αὐτὸν καὶ προτελειοῖ πρὸς ἀσέβειαν, εὐχήν τινα λέγων καὶ ἀνακαλούμενος ὡς θεοὺς ἀέρα, αἰθέρα, καὶ τὰς νεφέλας πλέον αὐτῶν, ἐλθεῖν ἐπ’ αὐτόν. τὰ δὲ ὡραῖα γελοῖα κατὰ λεπτὸν τοῦ δαιμονίου Ἀριστοφάνους τίς διηγήσεται; τὰ κομματικὰ γὰρ τῶν προσώπων ὡς Τζέτζη διηγεῖσθαί με

book 250 οὐκ ἐᾷ.

book 251a νὴ Δί’] θέλω.

book 251b ἔστι] ἀληθῆ.

book 254 φασὶ σκίμποδα εἶναι τὸ χωλὸν κραββάτιον· σκιμπάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς. εἴρηται παρὰ τὸ σκαμβοὺς ἔχειν τοὺς πόδας.

book 255 τουτονὶ τοίνυν λαβέ: “λαβέ” ἀντὶ τοῦ “λάβε” ἀττικῶς. παρεπιγραφὴν δὲ τοῦτο κακῶς οἱ πρὸ ἡμῶν λέγουσιν. καὶ πῶς γὰρ οὐ κακῶς τοῦ Σωκράτους λέγοντος περὶ τοῦ στεφάνου· λαβὲ τουτονὶ τὸν στέφανον, οὐ μὴν δ’ ἐκ τῶν κάτωθεν λεγομένων νοουμένου καὶ τοῦ στεφάνου, ὥσπερ ἐν τῷ λέξω τὰ πάντα νητρεκῶς, ἅ μ’ ἱστορεῖς. ἐκεῖ γὰρ μηδὲν ἐρωτῶν ὁ Πρίαμος ἐκ τοῦ “ἅ μ’ ἱστορεῖς” φαίνεται, ὅτι προηρώτησε, καὶ ἔστιν ἐκεῖνο ποιητικὴ παρεπιγραφή. τοῦτο δὲ παραγραφὴ καὶ ὀβέλισμα γραμματικῶν, τουτέστιν ἀνθρώπων κριτικωτάτων κρίνειν εἰδότων γράμματα, τουτέστι συγγράμματα γραμματικῶν, ῥητόρων, ἰατρῶν, φιλοσόφων,

book 255 μηχανικῶν, ἀστρολόγων, γεομετρῶν καὶ πάντων ἁπλῶς τῶν ὅσοι λογικὰ συγγράμματα συνετάξαντο. τοιοῦτον γάρ, εἰ παράγει πῇ καὶ ἐτράφη, γραμματικὸν Τζέτζης φησίν. ὃς τοιοῦτος γραμματικὸς πολλῷ φιλοσόφων ὑπέρτερος· οἱ μὲν γὰρ ἐπικαλοῦνται φιλόσοφοι ὡς φιλοῦντες σοφίαν, οὐχ ὡς εἰδότες· ὁ δὲ τοιοῦτος, ὃν εἴπομεν, καλεῖται γραμματικὸς οὐχ ὡς φιλῶν, ἀλλ’ ὡς εἰδὼς κρίνειν γράμματα καὶ συγγράμματα.

book 256a ἐπὶ τί στέφανον: στεφανωθεὶς Στρεψιάδης παρὰ Σωκράτους ὡς προτελούμενος φιλοσοφίας τὰ ὄργια καὶ ἀσέβειαν δεδιὼς δῆθέν φησιν· ἐπὶ τί καὶ διὰ τί στέφανον ἐμοὶ δίδως, ὦ Σώκρατες; οἴμοι ἵνα ἐμὲ θύσητε, θύσετε, ἰωνικῶς, ὅπως καὶ ὥσπερ τὸν Ἀθάμαντα. τοῦ δὲ “μὴ θύσητε” θύσετε” τὸ “μή” περιττῶς κεῖται, ὡς τὸ ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας. ἡ δὲ ἱστορία τοιάδε. ἱστορία: ἀνθ' ὧν Ἀθάμας πεισθεὶς τῇ αὐτοῦ δευτέρᾳ συζύγῳ Ἰνοῖ Φρίξον ἐκείνου τὸν παῖδα τὸν ἐκ Νεφέλης τῆς πρὶν αὐτοῦ γυναικὸς δι' ἀκαρπίαν ὡς ἱερεῖον θεοῖς τυθῆναι παρέσχε κἀν νεφέλῃ αὐτὸν ἡ μήτηρ ἀφήρπαξέ τε καὶ ἔσωσε, στεφανωθεὶς ἀντ' ἐκείνου τῷ βωμῷ τοῦ Διὸς παρίστατο τυθησόμενος. ἐπιφανεὶς δὲ Ἡρακλῆς τῆς σφαγῆς τοῦτον ἐκσῴζει· Φρίξος, εἰπών, ζῇ.

book 256b ἐπὶ ... Σώκρατες] δεδιώς, μὴ πέσῃ εἰς ἀσέβειαν, δειλιᾷ.

book 257a μοι (sic)] φοβοῦμαι.

book 257b ὅπως] ὅρα.

book 257c μὴ] τὸ “μή” περισσόν.

book 258a οὔκ, ἀλλὰ ταῦτα πάντα: οὐχ ὅπως σε θύσωμεν, ὁ Σωκράτης φησί, διδόαμέν σοι στέφανον, ἀλλὰ πάντα ταῦτα τοῖς νεήλυσι δρῶμεν ἡμῶν μαθηταῖς φιλοσοφίας ἀρχὴν ὡς ἑορτῆς καὶ μυστηρίων προτέλειά τε καὶ προδιδάγματα. (259/'60) εἶτα δὴ τί κερδανῶ; φησὶ Στρεψιάδης. καὶ Σωκράτους εἰπόντος· λέγειν γενήσῃ τρίμμα καὶ ἐντριβής, κρόταλον καὶ εὔστομα στωμυλλόμενος καὶ περίκροτα, ὥσπερ τὸ κρόταλον, ὃ κατὰ τούτους ὁ ἐσχισμένος λέγεται κάλαμος, καθ' ἡμᾶς δὲ τὰ χαλκεῖα χειροκύμβαλα, παιπάλη, οὐ κατὰ τούτους τραχύτατος, ἀλλὰ λεπτολόγος καὶ ζητητικὸς καὶ τῶν πάνυ διαλανθανόντων σμικρῶν καὶ ἀφανεστάτων—παιπάλη δὲ τὸ λεπτίστατόν ἐστι τοῦ ἀλεύρου—ταῦτα εἰπόντος Σωκράτους καὶ τῇ προστρίψει τῶν ὧν εἶπον ὀστράκων αὐτὸν καταπάττοντος·

book 258a (261/'62) οὐ ψεύσῃ με, Σώκρατες, λέγει, τῷ λεπτῷ γὰρ τῶν ὀστράκων (263) παιπάλη γενήσομαι. ὁ δὲ εὐφημεῖν καὶ σιωπᾶν εἰπὼν Στρεψιάδην κατάρχεται τῆς εὐχῆς ὡς θεοὺς ὑμνῶν ἀέρα, αἰθέρα καὶ τὰς νεφέλας, ἃς καὶ καλεῖ θεαθῆναι.

book 258b τοὺς μέλλοντας διδάσκεσθαι· ὥσπερ λέγομεν· τελεῖται τὴν ῥητορικήν, τελεῖται τὰ φιλόσοφα, ἤγουν διδάσκεται.

book 258c τοὺς τελουμένους] ἤγουν τοὺς νεήλυδας μαθητάς.

book 260a λεπτολόγος καὶ τῶν λεπτῶν ζητητής.

book 260b λέγειν] εἰς τό.

book 260c τρίμμα] ἐντριβής.

book 260d κρόταλον] εὔστομος, εὔγλωττος, ἠχητικός.

book 261 ἀτρέμας] ἡσύχως.

book 262 καταπαττόμενος] καταπατούμενος.

book 263 εὐφημεῖν] σιωπᾶν.

book 264 ἀμέτρητ' Ἀήρ: ὅτι κυκλοτερῶς καὶ σφαιρικῶς τὴν γῆν περιέχει. ὃς ἔχεις τὴν γῆν μετέωρον: τὴν γῆν τινες δοξάζουσιν εἶναι πλατεῖαν πεταλοειδῆ (265) ὀχουμένην τῷ ἀέρι. λαμπρός τ' Αἰθήρ: ἢ ὁ ἥλιος ἢ ὁ μετὰ τὸν ἀέρα τόπος, ἐν ᾧ οἱ ἀστέρες, ὅς ἐστι καθαρὸς καὶ οὐ νεφελώδης, ὡς ὁ ἀήρ. βροντησικέραυνοι: τῷ βάρει γὰρ τοῦ ὕδατος ἀλλήλαις κροτοῦσαι βροντὴν ἀπεργάζονται, κεραυνὸν δὲ τὸν ἐν αὐταῖς λεπτὸν ἀέρα προστρίψει ἐκπυρακτοῦσαι. (266) ἄρθητε δὲ μετέωροι εἰπόντος ῥάκος τι ὁ Στρεψιάδης ἑλίσσεται καί (267) φησι· μήπω γε ταύτας κάλει, πρὶν ἂν τουτὶ

προσπτύξωμαι, μὴ καταβραχῶ. προσπτύξομαι δὲ ἀντὶ τοῦ “σκεπασθῶ” ἀπὸ τῶν πτυχῶν εἴρηται τῶν ἢ ζωόφυτον ἢ ἕτερόν τι σκεπόντων.

book 266 τῷ φροντιστῇ] ἐμοί.

book 267 πτύξωμαι] ἐντυλιχθῶ τὸ τριβώνιον· ἐκ μεταφορᾶς τῶν ὀστρέων.

book 268a τὸ δὲ μὴ κυνῆν: ἐλλιπὴς ἡ διάνοια, ἔστι δὲ αὕτη· τὸ δὲ ἐλθεῖν ἐμὲ (269) οἴκοθεν μηδὲ κυνῆν καὶ σκιάδειον ἔχοντα. λείπει τὸ “οὐ μάταιον ἦν;”. εἰς ἐπίδειξιν: προφανῶς.

book 268b κυνήν] περικεφαλαίαν, σκιάδειον.

book 268c ἔχοντα] φοροῦντα.

book 268d 268] οὐ δεινὸν οὐδὲ μάταιόν ἐστιν; ⟦εἰς ἐπίδειξιν⟧.

book 269 τῷδ’] τῷ πρεσβύτῃ.

book 270a χιονοβλήτους τὰς κορυφάς φησι τοῦ Ὀλύμπου, ὅτι τὰ ἄκρα τῶν ὀρῶν χιονόβλητα,(.) κἂν ὁ ἑσπέριος ὅλως τοῦτο οὐκ ἔχῃ.

book 270b Ὀλύμπου] ὄρος Μυσίας.

book 270c χιονοβλήτοισι] τὰ γὰρ ὑψηλὰ χιονόβλητα.

book 271a Ὠκεανοῦ κήπους τὰς τούτου πηγὰς λέγει, Νύμφας δὲ τὰ ὕδατα. συγχορεύουσι δὲ τοῖς ὕδασιν αἱ νεφέλαι, ὅτι καὶ αὗται καθύγρου οὐσίας εἰσίν. (272) χρυσέαις ἀρύεσθε προχόοις: ταῖς χρυσαυγέσιν ἡλίου ἀκτῖσιν ἀνιμώμεναι τὸ ὑγρὸν δίκην προχόων χρυσέων ἤτοι ξεστῶν. καὶ πρόχοοι μὲν οἱ ξέσται καὶ πᾶν ἀγγεῖον ἔχον ὑγρὸν καὶ προχέον αὐτό, προχοαὶ δὲ αἱ ἐκχύσεις (273) τῶν ποταμῶν. Μαιῶτις λίμνη Σκυθίας. Μίμας δὲ ὄρος ὑψηλὸν ἔγγιστα (274) Χίου. χαρεῖσαι: τερφθεῖσαι.

book 271b ἱερὸν] εἰς.

book 271c ἵστατε] συνιστῶντες.

book 271d νύμφαις] σύν.

book 271e νύμφαις] ταῖς πηγαῖς.

book 273 Μίμαντος] ὄρος ὑψηλὸν τῆς Χίου.

book 274a ἀένναοι Νεφέλαι: ἀεὶ οὖσαι ἢ ἀεὶ νάουσαι καὶ ῥέουσαι. ὑπακούσασαι δῆθεν εὐχῆς τῆς Σωκράτους παρακελεύονται ἀλλήλαις ἐξ Ὠκεανοῦ σφῶν πατρὸς τοῦ βαρέως ἠχοῦντος ἀρθῆναι ἐφ’ ὑψηλῶν ὀρέων δενδροφύτων κορυφάς, ἵν’ ὑψηλοὺς τόπους θεάσωνται, καρπούς, γῆν, ποταμούς, θάλασσαν. τὸ ὄμμα γὰρ καὶ ὁ ὀφθαλμὸς τοῦ αἰθέρος, ὁ ἥλιος, λαμπρὸν ὑπαυγάζει. ἀλλὰ τὸ ὄμβριμον ὄμβριον νέφος καὶ τὴν φύσιν τῶν νεφελῶν, φασίν, ἀποθέμεναι ἀθανάταις μορφαῖς τὴν γῆν θεασώμεθα. καὶ αὐτίκα χορὸς ἑταιρίδων εἰσέρχεται ἐσκευασμένος εἰς σχῆμα τῶν νεφελῶν. (276) ἀλλὰ καί τινας ἀναπτυκτέον τῶν λέξεων. δροσερὰν φύσιν: ὅτι

book 274a μετέχουσιν αἱ νεφέλαι ὑγρότητος. εὐάγητον: τὴν καλῶς κινουμένην καὶ (277) φερομένην. Ὠκεανοῦ βαρυαχέος: ἀκαλαρρείτης Ὁμήρῳ καὶ ἥσυχα ῥέων ὁ Ὠκεανὸς λέγεται· πῶς δ’ οὗτος βαρυηχέα τοῦτόν φησιν; ὅτι ἐκ τούτου πάντες ποταμοὶ καὶ πᾶσαι θάλασσαι καὶ φρείατα μακρὰ νάουσιν. ἐπεὶ δὲ τὸ ὕδωρ ἠχητικὸν καὶ τοὺς ποταμοὺς οἱ ζωγράφοι ζωγραφοῦσι ταυροκεφάλους καὶ ὅτι καὶ βροντῶν κρότος ἐκ καθύδρων τῶν νεφελῶν γίνεται, διὰ τοῦτο βαρυηχέα (289) τοῦτόν φησιν. ἀθανάταις ἰδέαις: νῦν ἀνθρωπομόρφοις, ὥσπερ ὁ Ζεύς, Ἥρα καὶ οἱ λοιποὶ θεοί. ἐπιδώμεθα: καὶ θεασώμεθα τὴν γῆν τῷ τηλεσκόπῳ καὶ πόρρωθεν βλέποντι ἡμῶν ὄμματι.

book 274b ἱεροῖσι] θύμασι.

book 275 ἀένναοι] ἢ ἀεὶ ῥέουσαι ἢ ἀεὶ οὖσαι.

book 276 φανεραὶ] ἄνευ ὕδατος, καθαραί.

book 277a εὐάγητον: καλῶς ἀγομένην. τὸ γὰρ ὕδωρ, ὅπῃ τις θέλει, στρέφει καὶ ἄγει, τὰ δὲ ἄλλα στοιχεῖα, τὸ πῦρ, τὴν γῆν, οὐδαμῶς.

book 277b δροσερὰν φύσιν] τήν.

book 277c δροσερὰν φύσιν] αἱ ἔχουσαι ἢ δείξασαι.

book 277d εὐάγητον] καθαρὰν καὶ λάμπουσαν.

book 278 “βαρυηχέος” διὰ τί εἶπε; καὶ μὴν ὁ Ὠκεανὸς ἥσυχος καὶ ἀκαλαρρείτης ὡς κυκλῶν πᾶσαν τὴν γῆν. ἀλλὰ διότι ἐξ ἐκείνου ῥέουσι καὶ αἱ πηγαὶ καὶ οἱ ποταμοί, εἴρηται βαρυηχής.

book 281 ἀφορώμεθα] βλέπομεν.

book 282 ἱερὰν] μεγάλην.

book 284 βαρύβρομον] ἐπιθετικῷ ὀνόματι.

book 285 ὄμμα … αἰθέρος] ὁ ἥλιος.

book 286a ἀκάματον] μὴ κοπιῶν.

book 286b σελαγεῖται] λάμπει.

book 287a μαρμαρέαις] λαμπραῖς.

book 287b αὐγαῖς] λαμπηδόσι.

book 288 ἀποσεισάμεναι] ἀπορρίψασαι.

book 289a ἐπιδώμεθα] ἄς.

book 289b ἐπιδώμεθα] φανῶμεν, θεασώμεθα.

book 291a ὦ μέγα σεμναὶ Νεφέλαι: τῶν Νεφελῶν φανεισῶν τῷ ὑπακοῦσαι δῆθεν τῆς εὐχῆς τοῦ Σωκράτους εὐχαριστεῖ αὐταῖς ὁ σοφὸς λέγων· ὦ μέγα καὶ μεγάλως σεμναὶ καὶ τίμιαι Νεφέλαι, ἠκούσατέ μου φανερῶς. ὑποστραφεὶς (292) δὲ εἶτα τῷ Στρεψιάδῃ φησίν· αἴσθησιν ἔσχες τῆς φωνῆς τῶν Νεφελῶν τῆς θεοσέπτου καὶ ἅμα τῇ τούτων φωνῇ καὶ βροντῆς μυκησαμένης, τροπικωτέρως (293—’95) ἀντὶ τοῦ ἠχησάσης; καὶ ὁ Στρεψιάδης τρέμων δῆθεν ἐσχηματισμένως καὶ πτοούμενος τὰς βροντὰς λέγει· καὶ σέβομαι καὶ βούλομαι ἀνταποπαρδεῖν πρὸς τὰς βροντάς· καὶ εἰ θέμις ἐστὶ καὶ εὐσεβές ἐστιν εἰπεῖν ἢ μὴ εὐσεβές, ἤδη τῷ δέει χεσείω· οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι. εἶτα (296) ἐπιφωνήματι καὶ ὑστερολογίᾳ φησίν· ὦ πολυτίμητοι. καὶ ὁ Σωκράτης ἐπιτιμῶν αὐτῷ καὶ μεμφόμενος καὶ τῆς δειλίας ἐξαιρῶν· οὔ, φησί, δεῖ σε δειλιᾶν πρὸς τοὺς κτύπους τῶν βροντῶν μηδὲ σκώψῃς καὶ ὑπὸ τοῦ δέους σκωπτικὰ λέγε τοιαῦτα καὶ ἄσεμνα, ὥσπερ οἱ τρυγοδαίμονες καὶ οἱ κωμικοί, οἱ τῷ δαίμονι καὶ τῇ τύχῃ δυσμοίρῳ διὰ τρύγα ἤτοι οἶνον καὶ τράγον ληρολε-

book 291a σχοῦντες (297) τοιαῦτα· ἀλλ’ εὐφήμους πρόπεμπε λόγους· μέγα γάρ—νῦν ἀντὶ τοῦ “πολύ”—σμῆνος καὶ πλῆθος τῶν νεφελῶν κεκίνηται ταῖς ἐμαῖς ἀοιδαῖς καὶ εὐχαῖς ἢ κινεῖται αὐτὸ ᾆδον καὶ ψάλλον. τὸ δὲ “οὗτοι” ἀντὶ τοῦ “οἱ παρ’ ἡμῖν” κωμικοί. ὁ νοῦς μὲν οὗτός ἐστι τοῦ παρόντος χωρίου καὶ ἡ συνέπεια τοῦ λόγου καὶ σύνταξις. τὸ δὲ “ᾔσθου φωνῆς ἅμα καὶ βροντῆς” παρεπιγραφή ἐστιν, ὁ ποιητικὸς τρόπος. δηλοῖ γὰρ ὁ ποιητὴς διὰ τοῦ νῦν εἰπεῖν· καὶ βροντῆς, ὅτι, ὅτε ἐφθέγξαντο αἱ νεφέλαι, ἅμα καὶ τὸ ἠχεῖον ἐπεκρότησε εἰς τύπον βροντῆς. τὸ δὲ ἠχεῖον καὶ βροντεῖον ἐλέγετο. καὶ πῇ μὲν τὸ βροντεῖον τοιοῦτον ὑπῆρχεν. ἅρματι ἐπέκειντο λέβητες ἐπιξήροις βύρσαις ἐσκεπασμένοι. ἁρματηλασίας δὲ

book 291a γενομένης βρονταῖς ἐμφερεῖς οἱ κτύποι ἐγίνοντο. ὁτὲ δὲ ἠχεῖον καὶ βύκινον κατέχων τις σαλπιγκτὴς ἔνδον ἐπιμήκους ἑλικοειδοῦς εὐχάλκου χαλκίου ὑπήχει καὶ ὁ ἦχος ἐδόκει βροντή. οἱ δὲ πρὸ ἡμῶν τὰ τοῦ κωμικοῦ ἐπεξηγησάμενοί φασιν· “ἦν ἀμφορεὺς ἔχων ψηφῖδας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θαλασσίους, ἦν δὲ καὶ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψηφῖδες κατήρχοντο καὶ κυλιόμεναι ἦχον ἀπετέλουν.”

book 291b μέγα] μεγάλως.

book 292a ᾔσθου] πρὸς τὸν Στρεψιάδην.

book 292b μυκησαμένης] ἠχησάσης.

book 292c θεοσέπτου] θεοκινήτου.

book 293 ἀνταποπαρδεῖν] ἠχεῖν.

book 295 χεσείω] ἐφετικόν.

book 296a ἢ τοὺς τραγικοὺς ποιητὰς ἢ τοὺς μεθύσους. οἱ γὰρ τραγικοὶ ποιηταὶ λέγοντες τὰ αὐτῶν συγγράμματα ἢ τράγον ἐλάμβανον ἢ τρύγα, τουτέστι νέον οἶνον, ἐχρίοντο. ἠδολέσχουν γὰρ καὶ ἐν τοῖς ἑαυτῶν ποιήμασιν.

book 296b τρυγοδαίμονες] κωμικοὶ ἤγουν οἱ μεθύοντες.

book 296c κατηγορεῖ τῶν τραγικῶν ὡς μὴ πιστευόντων θεοῖς.

book 297a ἀλλὰ προνόει.

book 297b ἢ ἐν ταῖς παρακλήσεσιν ἐμοῦ ἢ ἐν μολπαῖς ἐρχόμεναι ἤγουν τραγῳδοῦσαι.

book 297c εὐφήμει] εἰπὲ “ἀντηχεῖν” εὐφήμως.

book 297d εὐφήμει] ἔχε ἡσύχως.

book 297e ἀοιδαῖς] ἐμαῖς.

book 299 παρθένοι ὀμβροφόροι: παρακελεύονται ἀλλήλαις αἱ Νεφέλαι πρὸς τὴν χθόνα Παλλάδος καὶ Ἀθηνᾶς καὶ γῆν Κέκροπος ἤτοι τὰς Ἀθήνας ἐλθεῖν, καί φασιν· ὦ παρθένοι ὀμβροφόροι ἤτοι ὄμβρων ποιητικαί, “ἀποσεισάμεναι νέφος ὄμβριμον,” ὄμβριον,” ὡς ὄπισθεν εἶπεν, ἔλθωμεν καθαραὶ καὶ ἄνομβροι νῦν ἐς χθόνα Παλλάδος τῆς Ἀθηνᾶς—μή, ὥς τινές φασιν ἀσκεπτότεροι, ὀμβροφόροι ἔλθωμεν ἐς χθόνα Παλλάδος—ἔλθωμεν ἄνομβροι ἐς τὴν λιπαρὰν καὶ πλουσίαν χθόνα—μεταφορικῶς, ὡς τὸ ποσσὶ δ’ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα— Παλλάδος, τῆς Ἀθηνᾶς. ὅθεν δὲ Παλλὰς λέγεται, καὶ ὅτι Κέκροψ (300) Ἀθηνῶν ἦν βασιλεύς, τοῦτο πασίγνωστον. καὶ λίθοις ἐστὶν εὐεπίγνωστον. εὔανδρον γῆν τὰς Ἀθήνας καλεῖ θωπεύων ἅμα τοὺς Ἀθηναίους καὶ λέγων καὶ τὸ ἀληθές· πολλοὺς γὰρ πεπολεμηκότες πολέμους βαρβαρικούς τε καὶ ἐμφυλίους ἀεὶ (301) τὴν νικῶσαν ἐλάμβανον. πολυήρατον: ἐπιθυμητήν, διά τε τὴν παρ’ (302) αὐτῇ σοφίαν ἀνθοῦσαν καὶ τὰ πολεμικὰ τρόπαια. οὗ σέβας ἀρρήτων

book 299 ἱερῶν: οὗ, ἤγουν ταῖς Ἀθήναις, τελεῖται ἡ μυστηριώδης καὶ ἄρρητος ἑορτὴ (303) τῆς τε Κόρης καὶ τῆς Δήμητρος. ἵνα μυστοδόκος δόμος δῆμος ἐκ παραλλήλου τὸ αὐτό· ταὐτόν· ἤγουν ὅπου ἐστὶν ὁ μυστοδόκος δόμος καὶ ὁ ναὸς ἤγουν ἡ Ἐλευσίς, ἐν ᾗ τὰ μυστήρια ἐγίνετο· ἢ δῆμος καὶ ὄχλος μυστοδόκος ὁ ἐλευσίνιος.

book 300a γᾶν] ἤγουν τὰς Ἀθήνας.

book 300b γᾶν] γαῖαν.

book 301a πολυήρατον] τήν.

book 301b πολυήρατον] διὰ τὸ ἀνθηρὸν τοῦ λόγου.

book 302 ἵνα] ὅπου.

book 303a ὁ δεχόμενος τὰ μυστήρια.

book 303b μυστοδόκος] ἤγουν ἐλευσίνιος.

book 303c δόμος] δῆμος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 304 (305) τελεταῖς ἁγίαις: ἑορταῖς σεβασταῖς. οὐρανίοις τε θεοῖς δωρήματα: Διί, Ἥρᾳ, Ἀθηνᾷ καὶ λοιποῖς· ἡ Δημήτηρ γὰρ καὶ Κόρη οὐ (306) τῶν οὐρανίων ἦσαν θεῶν. ὑψηρεφεῖς: ὑψηλοστεγεῖς· ἐρέφω γὰρ τὸ στεγάζω, ὅθεν καὶ ὄροφος. ἀγάλματα: εἰκόνες, ἀνδριάντες, ἀλλὰ καὶ καλλώπισμα πᾶν.

book 305a οὐρανίοις] ὅπου.

book 305a, col. 2 δωρήματα] λείπει τὸ “δωροῦνται”.

book 305b οὐρανίοις] πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων.

book 306 ναοί] ὅπου.

book 307 πρόσοδοι] αἱ θυσίαι.

book 307, col. 2 προσελεύσεις ἀνθρώπων εἰς τοὺς ναοὺς ἢ πρόσοδοι χρημάτων.

book 308 εὐστέφανοί] ἐκόσμουν γὰρ καὶ ἐστεφάνουν τοὺς ναούς.

book 308, col. 2 εὐστέφανοί] ἐστεφανοῦντο γὰρ θύοντες.

book 309 θαλίαι] ἑορταί.

book 309, col. 2 θυσίαι θαλίαι τε] λείπει τὸ “γίνονται”.

book 311a ἦρί τ’ ἐπερχομένῳ: ἦρί τε καὶ ἔαρος ἐπερχομένου ἡ βρομία καὶ ἡ διονυσιακή, χάρις γίνεται ἤτοι αὐτὰ τὰ Διονύσια, ἐν οἷς ἠγωνίζοντο κωμικοί τε καὶ τραγικοὶ καὶ ἕτεροι ποιηταί, —Βρόμιος δὲ ὁ Διόνυσος λέγεται, ὅτι μετὰ τυμπάνων καὶ βρόμων καὶ ἤχων ἐν ὄρεσι σὺν Βάκχαις ἐφέρετο καὶ Σατύροις καὶ Σειληνοῖς, ἢ ὅτι βρόμῳ καὶ ἤχῳ βροντῆς καὶ κεραυνοῦ βληθεῖσα Σεμέλη ἔγκυος οὖσα τοῦτον ἐξήνεγκεν. ἐτελεῖτο δ’ ἡ ἑορτὴ τῶν Διονυσίων χειμῶνος (312) μὲν παυομένου, ἀρχομένου δὲ ἔαρος—εὐκελάδων τε καὶ εὐήχων, ἐρέθισμα χορῶν—αὐλοῖς γὰρ καὶ λύραις καὶ μουσικοῖς ἑτέροις ὀργάνοις (313) ἠρεθίζοντο καὶ παρώρμων χορεύειν—καὶ μοῦσα καὶ μουσικὸν μέλος,

book 311a τῶν αὐλῶν βαρύβρομος καὶ ἠχητική. κεκινδύνευται δὲ τουτοῒ τῷ τζουρίχῳ· ποῦ γὰρ ὁ αὐλὸς βαρύβρομος, ὥσπερ τὰ ἠχεῖά εἰσιν ἢ τὰ τύμπανα;

book 311b Βρόμιος ὁ Διόνυσος ἐκλήθη, ἢ διότι ἐκεραυνώθη μετὰ βροντῶν καὶ ἀστραπῶν ἡ Σεμέλη καὶ ἔκτοτε ἐξῆλθεν ἀπ’ ἐκείνης, ἢ διότι μετὰ βρόμων καὶ ἤχων παρὰ τῶν μαινάδων καὶ τῶν θυρσοφόρων ὑμνεῖτο, ἢ διότι βρόμων καὶ ἤχων αἴτιος γίνεται ὁ οἶνος, ἐν οἷς ἂν πολὺς ἐπεισρεύσῃ.

book 311c βρομία] διονυσιακή.

book 311d βρομία χάρις] ἤγουν τελοῦνται τὰ Διονύσια.

book 312a ἐρεθίσματα ὄργανα μουσικά.

book 312b ἐρεθίσματα] κινήματα.

book 313a μοῦσα] μελῳδία.

book 313b αὐλῶν] λείπει γίνεται.

book 314a πρὸς τοῦ Διὸς ἀντιβολῶ σε: ὁ Στρεψιάδης τῆς φωνῆς ἀκούσας τῶν Νεφελῶν δεῖται Σωκράτους θέλων μαθεῖν, τίνες εἰσί, καί φησι· μῶν (316) ἡρῷναι καὶ ἡρωῖναι καὶ ἡρώων γυναῖκές εἰσιν; ὁ Σωκράτης δέ· ἥκιστα, ἤτοι οὐδαμῶς, λέγει, εἰσὶν ἡρωῖναι, ἀλλὰ νεφέλαι οὐράνιαι, θεαὶ μεγάλαι ἀνθρώπων ἀργῶν. ἀλλὰ τὰ τῶν παλαιῶν πρῶτον. περὶ δὲ τῶν στίχων ῥητέον μοι· εἶτα καὶ ὃ τοῦ κειμένου χρῄζει σαφηνείας, διασαφήσομεν. “ἀπὸ τοῦ “πρὸς τοῦ Διὸς” ρκε′ εἰσὶ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί”. εἴτε δὲ καλῶς φασιν, εἴτε μή, τί με χρὴ λέγειν ἢ πονεῖν εἰς κενόν;

book 314b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς] διά.

book 315 ἡρῷναί] ἡρωϊκαί, ἡρώων γυναῖκες.

book 316a οὔκ, ἀλλ’ οὐράνιαι: οὐχ ἡρωῖναι, φησὶν ὁ Σωκράτης, εἰσίν, ἀλλὰ Νεφέλαι, μεγάλαι θεαὶ ἀνθρώπων ἀργῶν. οἱ φιλόσοφοι γὰρ ἀργὸν βίον βιοῦντες φιλοσοφοῦσι καὶ φυσιολογοῦσι περὶ αὐτῶν. ὁμοίως δὲ καὶ λοιποὶ δι’ αὐτῶν διατρέφονται.

book 316b ἀνδράσιν ἀργοῖς] ἤγουν τοῖς φιλοσόφοις.

book 317a γνώμην: τὰ νῦν σύνεσιν, αἵρεσιν, δόξαν. ὁ μὲν γὰρ τόδε φησὶ ταύτας, ὁ δὲ τόδε. διάλεξιν: συλλογισμοὺς καὶ διαλεκτικὰς μεθόδους. νοῦν: διανοήματα (318), λεπτογνωμοσύνας. τερατείαν: ἀλαζονείαν, παρὰ φύσιν λέγειν καὶ ψευδῆ. περίλεξιν: μακρηγορίαν, πολυλογίαν. κροῦσιν: ἢ τὸν κεκροτημένον νῦν φησι λόγον καὶ δίαρμα ἔχοντα, ἢ κροῦσιν τὴν παράκρουσιν, τὴν ἀπάτην καὶ τὸν παραλογισμόν. καὶ κατάληψιν: γνῶσιν ἠκριβωμένην.

book 317b ἀπόφασιν καὶ ἐνθυμήματα, ἐνθυμηματικὸν συλλογισμόν.

book 317c γνώμην] σύνεσιν.

book 317d νοῦν] νόημα.

book 317e νοῦν] τὴν ἀποδεικτικήν· ἐκ γὰρ τοῦ νοὸς ἡ ἀπόδειξις.

book 318a τερατείαν] ἀλαζονείαν.

book 318b τερατείαν] ψευδολογίαν.

book 318c περίλεξιν] εὐτραπελίαν, περισσὴν φράσιν.

book 318c, col 2 περίλεξιν] περισσολογίαν.

book 318d κροῦσιν] ἀπάτην.

book 318e κατάληψιν] γνῶσιν.

book 319a ταῦτ’ ἄρ’ ἀκούσας’ αὐτῶν: διὰ ταῦτα, φησὶ Στρεψιάδης, ἡ ψυχή μου ἀκούσασα αὐτῶν ἀνεπτερώθη καὶ ἐπήρθη καὶ πεπότηται καὶ μετέωρος ἤρθη καὶ ἀναπέταται καὶ λεπτολογεῖν ἐθέλει καὶ στενολεσχεῖν καὶ μικρολογεῖσθαι καὶ φλυαρεῖν, φυσικευομένη περὶ καπνοῦ καὶ τοῦ μηδέν.

book 319b ταῦτ’] διὰ τοῦτο.

book 319c πεπότηται] κεκούφισται.

book 320a περὶ καπνοῦ] καὶ ὑπὲρ τοῦ μηδενός.

book 320b στενολεσχεῖν] λεπτὰ λέγειν.

book 321a καὶ γνωμιδίῳ: καὶ νοήματι νόημα νύξας καὶ πλήξας καὶ τρώσας. νῦν δὲ ἀντιθεὶς νόημα νοήματι ἐθέλω ἑτέρῳ λόγῳ ἀντειπεῖν.

book 321b ἐμπαίζει τοὺς φιλοσόφους, διότι, ὅπερ νόημα ἔλεγέ τις, ἀντέλεγεν ἕτερος.

book 321c γνωμιδίῳ] νοήματι.

book 321d γνωμιδίῳ ... νύξας] 〈ἀν〉 - τιθεὶς νόημα νοήμασιν.

book 321e νύξας] τρώσας.

book 321f ἀντιλογῆσαι] λείπει ἐθέλει.

book 321g ἀντιλογῆσαι] ζητεῖ.

book 321h ἀντιλογῆσαι] ἀντειπεῖν.

book 323a βλέπε νῦν δευρί: Στρεψιάδου εἰπόντος· ἐπιθυμῶ ἰδεῖν αὐτάς, εἰ δυνατόν ἐστι, δείκνυσιν αὐτῷ ταύτας κατερχομένας περὶ τὴν Πάρνηθα. ὄρος δὲ Ἀθηνῶν ἐστιν ὁ Ὑμηττὸς καὶ ἡ Πάρνης. καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τῇ κωμικῇ δὲ σκηνῇ αἱ Νεφέλαι δῆθεν κατέρχονται ἀπό τινος μηχανήματος εἰς τύπον ὄρους (325) ἐξειργασμένου. ἤδη γάρ, φησὶν ὁ Σωκράτης, αὐτὰς ὁρῶ κατιούσας. διὰ τῶν κοίλων καὶ τῶν δασέων: διὰ τῶν κοιλάδων καὶ δενδρωδῶν περὶ (326) τὰ ἡμῶν πλάγια. τί τὸ χρῆμα; ὡς οὐ καθορῶ: πάλιν ὁ Στρεψιάδης σχήματι διαπορουμένου περὶ τὴν ὅρασιν τούτων τιθεὶς τὴν χεῖρα πρὸ ὀφθαλμῶν ὥσπερ ἀπειρκτικὴν ἡλίου βολῶν καὶ ποτὲ μὲν ἐπιστηρίζων οὕτω τοὺς ὀφθαλμούς, ποτὲ δὲ τῇδε κἀκεῖσε περιστρέφων αὐτούς· τί, φησί, τὸ χρῆμα καὶ τὸ πρᾶγμά ἐστιν, ὅτι αὐτὰς οὐχ ὁρῶ; τοῦ Σωκράτους δὲ εἰπόντος χωρεῖν αὐτὰς παρὰ τὴν εἴσοδον καὶ τὴν εἰσβολὴν τῆς ὁδοῦ τῆς πρὸς τούτους· νῦν, (327) φησὶν ὁ Στρεψιάδης, αὐτὰς μόλις ὁρῶ. καὶ ὁ Σωκράτης· εἰ μὴ κολοκύνταις, φησί, λημᾷς καὶ μεγάλως ἀμβλυωπεῖς ἰσομεγέθεις κολοκύνταις ἔχων

book 323a (328) τὰς λήμας, δοκῶ ἤδη ταύτας ὁρᾷς. ὁ δὲ πάλιν· νὴ τὸν Δία, ἔγωγε ὁρῶ. εἶτα ἐπιφώνημα θειαστικὸν πρὸς τὰς Νεφέλας, τὸ “ὦ πολυτίμητοι”.

book 323b Πάρνηθ’] ὄρος ἐν Ἀθήναις. ἡ εὐθεῖα ἡ Πάρνης.

book 324a ἥσυχος] βλέπε σύ.

book 324b ποῦ] νῦν.

book 325a αὗται] ἕτεραι.

book 325b πλάγιαι] περὶ τὰ πλάγια.

book 325c τὸ τί χρῆμα (sic)] καὶ τὸ πρᾶγμα.

book 326a πρὸς τὴν εἴσοδον] παρὰ τὴν θύραν.

book 326b εἴσοδον] κλεισεῖραν.

book 327 λημᾷς] ἔχων λήμας ἴσας.

book 328a νὴ Δί’] εἶδον, βλέπω.

book 328b πολυτίμητοι] ἐπιφώνημα θειαστικόν.

book 328c πάντα] τόπον.

book 329 ἐνόμιζες] ἢ ὑπόληψιν 〈εἶχεσ〉 ἢ κατὰ νόμους ἐτίμας.

book 330 μὰ Δί’] οὔ.

book 331 οὐ γὰρ μὰ Δί’ οἶσθα: εἰπόντος Στρεψιάδου· ὡς οὐδαμῶς ἐνόμιζον ταύτας θεάς, ἀλλ’ ὀμίχλην καὶ δρόσον καὶ σκιάν, πάλιν φησὶν ὁ Σωκράτης· καλῶς ταύτας οὐ νομίζεις θεάς· οὐ γὰρ οἶσθα καὶ γινώσκεις μὰ τὸν Δία, ἤτοι οὐ μὰ τὸν Δία, ὅτι πολλοὺς τρέφουσιν αὗται σοφιστάς. σοφιστὰς δὲ νῦν λέγει τοὺς περὶ τῶν μεταρσίων ληρολεσχοῦντας.

book 332a θουριομάντεις: Σύβαρις περὶ Σικελίαν πόλις ἦν ἑλληνίς, ὑπὸ Κροτωνιατῶν ἧς ἁλούσης ἐμελανοφόρησαν ἐμελανηφόρησαν πάντες Μιλήσιοι καὶ ἐκείραντο, κἂν ὕστερον ἁλούσης τοῖς Πέρσαις Μιλήτου οὐδὲν τοιουτότροπον οὐδ’ ἔγγιστα τούτου οἱ Συβαρῖται διέπραξαν. ταύτης οὖν τῆς Συβάρεως τότε ἁλούσης παρ’ Ἰταλῶν τῶν ῥηθέντων οἱ Ἀθηναῖοι πρὸς τὴν ταύτης ἀνάκτισιν ἄνδρας ἀπεστάλκασι ἀπέστειλαν δέκα, ὧν εἷς ὁ Λάμπων ὁ μάντις ἄστρων ὡροσκοπίαις καὶ μαντικῇ τὴν ταύτης ἀνάκτισιν ποιησόμενος ἦν, ὃν νῦν κωμῳδεῖ. ἀνακτισθείσης δέ, φασί, πάλιν τῆς πόλεως οὐκέτι Συβαρῖται οἱ ἄνδρες, ἀπὸ δὲ λίμνης Θουρίας Θούριοι ἐπεκλήθησαν.

book 332a ἀπορία: πῶς δ’ αἱ νεφέλαι τρέφουσι τοὺς τοιούτους; λύσις: ὡς ἀστρονόμων ἀστρηγόρων μὲν καὶ σημειοσκόπων καὶ μάντεων οὐρανὸν καὶ ἀστέρας σκοπούντων καὶ τὰ περὶ τὸν ἀέρα καὶ τὰς νεφέλας συμβάματα, φιλοσόφων δὲ ὡς μετεωρολεσχούντων περὶ τοιούτων, ἰατρῶν δὲ ὡς τὰ καταστήματα τῶν ἀέρων σκοπούντων— διεχθρεῦσαι γὰρ οὗτος καὶ ἰατροῖς φαίνεται, ὡς κἂν

τῷ δράματι τοῦ Πλούτου προεῖπον—τῶν δὲ λοιπῶν, ὧνπέρ φησι, μᾶλλον δὲ τῶν λυρικῶν, ὧν ἡ τῆς τραπέζης τιμὴ τὸν ἀλιτήριον ἔκνιζεν, ὡς τροπικαῖς λέξεσι χρωμένων ἐκ νεφελῶν· οὓς διαπαίζων καὶ τὰς συνθέτους ταύτας λέξεις φησίν—τὸ δὲ "σφραγιδωνυχαργοκομήτας" ἀντὶ τοῦ ἀργοὺς κόμας ἔχοντας καὶ δακτυλίους ἐν τοῖς δακτύλοις ἐσφραγισμένους φοροῦντας, καὶ ἀργοὺς καὶ λευκοὺς καὶ

book 332a ἐξεσμένους διὰ βλακείας ὑπερβολὴν τοὺς ὄνυχας ἔχοντας—καὶ τοὺς κυκλικοὺς (333) δὲ σὺν αὐτοῖς. ᾀσματοκάμπτας δὲ τούτους καλεῖ διὰ τὸ πολυσυνθέτοις τούτους κεχρῆσθαι ταῖς λέξεσιν. ἀλλ', ὦ ἀλιτήριε κωμικέ, αἱ πολυσύνθετοι λέξεις ἀλλαχοῦ μὲν ἢ πολλαχοῦ παικτέαι καὶ γελαστέαι, πανὺ δὲ προσφυεῖς καὶ ἁρμόδιαι κυκλικοῖς ποιουμένοις τὰς τῶν μελῶν ἐκφωνήσεις πρὸς τὰς τῶν τῆς λύρας κρουμάτων καμπάς.

book 332b Θουρία ἦν πηγή τις, ἐξ ἧς πίνοντες ὕδωρ ἐμαντεύοντο.

book 332c ἐπεὶ καὶ ἰατροί τινες ἔ〈γραψαν περὶ ἀέρων καὶ ὕδατοσ〉.

book 332d διασύρει τοὺς σύνθετα ὀνόματα λέγοντας.

book 332e τοὺς ἔχοντας δακτυλίους ἐν τοῖς δακτύλοις.

book 332f θουριομάντεις] μαντικούς.

book 332g ἰατροτέχνας] διότι βλέπουσιν εἰς τὸν ἀέρα.

book 333a διασύρει τοὺς λυρικούς.

book 333b ᾀσματοκάμπτας] τοὺς λυρικοὺς τοὺς κάμπτοντας τὰς ποιήσεις.

book 333c μετεωροφένακας] φιλοσόφους.

book 334a ὅτι ταύτας μουσοποιοῦσιν: ὅτι περὶ νεφελῶν λέγουσι καὶ τροπικωτέραις ἐκεῖθεν χρῶνται ταῖς λέξεσιν.

book 334b μουσοποιοῦσιν] ὑμνοῦσι τοῖς μέλεσιν.

book 335a ὑγρᾶν νεφελᾶν: ὑγρῶν νεφελῶν. εἰς Πίνδαρον ἀποτείνεται καὶ λοιπούς. στρεπταίγλαν: ἀντιστροφὴν τῆς αἴγλης, τουτέστιν ἡλιακῶν ἀκτίνων (336) ἀντανάκλασιν. τοῦτο δὲ Φιλοξένου εἶναί φασιν. ἑκατογκεφάλα Τυφῶ: Πινδάρου ἐστί, κἄν τινες ληρῶσιν. ὁ Πίνδαρος γὰρ οὕτω πώς φησιν· "ὃς Αἴτναν ἵππον ἔχεις ἑκατογκεφάλα Τυφῶνος ὀβρίμου". πρημαινούσας: καυστικάς (337)· ἐκ τοῦ πρῶ, τὸ καίω, πρήθω καὶ πρημαίνω. εἶτ' ἀερίας: εἰπόντος Σωκράτους· οὐκ ἐγίνωσκες ταύτας θεάς· οὐ γάρ, μὰ τὸν Δί', ἐγίνωσκες, ὅτι τρέφουσιν οὓς εἶπεν ἀργοὺς ἄνδρας, πρὸς ὃ πάλιν ὁ Στρεψιάδης· διὰ ταῦτ' ἄρ' ἐποίουν καὶ ἐν ταῖς ποιήσεσιν αὐτῶν ἔγραφον· ὑγρᾶν νεφελᾶν τὸ καὶ τό, εἴτε ἀερίας, διεράς, γαμψούς, οὗ ὁ νοῦς· εἴτε ἐποίουν καὶ ἐν τῇ ποιήσει αὐτῶν ἔλεγον αὐτάς, τὰς νεφέλας, ἀερίους ὑγρὰς ὄρνιθας ἀερονηχεῖς, νηχομένας καὶ κολυμβώσας ἐν τῷ ἀέρι—ἀλλ' οὐ πλεούσας· πλέειν γάρ ἐστι τὸ μετὰ πλοίων (338/'39) ἐμπορεύεσθαι ἢ περαιοῦσθαι—εἶτα ἀντὶ αὐτῶν, ὧν ἔλεγον εἰς τὰς νεφέλας, κατέπινον καὶ ἔτρωγον κεστρέων, ἰχθύων, μεγάλων ἀγαθῶν

book 335a τεμάχη καὶ κόμματα, κρέα τε ὀρνίθεια κιχηλῶν, ἀντὶ τοῦ "κιχλῶν", εἶτα ἐπιβεβαιοῖ τὸν αὐτοῦ λόγον καί φησι· διὰ ταύτας ἀδίκως ἐσθίουσι ταῦτα. διὰ τὰς τοιαύτας ὑποδοχὰς τῶν ἀνδρῶν καὶ τὴν εἰς αὐτοὺς τῶν τραπεζῶν πολυτέλειαν, τὴν σὴν δὲ τροφὴν καὶ τὸν ἄθλιον τράγον κωμῳδήσεις αὐτούς· πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει. πρῆξαι δ' οὔ τι δυνήσεαι.

book 335b διασύρει τὸν Πίνδαρον ὁ ἀλιτήριος Ἀριστοφάνης—κατέκνιζε γὰρ αὐτὸν ἡ πολυτελὴς τράπεζα ἐκείνου—, διότι ἐκάλει τὴν ἀκτῖνα τοῦ ἡλίου τὴν ὄπισθεν ἀντιπαλλομένην στρεπταίγλαν.

book 335c ἢ τὸν Φιλόξενον.

book 335d ταῦτ'] διά.

book 335e ἐποίουν] ποιητικῶς ἔγραφον.

book 335f ἐποίουν] ἐποίουν: ἔγραφον ἐν τῇ ποιήσει αὐτῶν.

book 335g στρεπταίγλαν … ὁρμάν] καὶ ἀντανάκλασιν κινητικήν.

book 336 πρημαινούσας] λάβρως καιούσας· πρημαίνω τὸ καίω.

book 337a 337] διασύρει τὸν Ἕρμιππον.

book 337b ἀερονηχεῖς] ἐν τῷ ἀέρι νηχομένας.

book 338a δροσερᾶν νεφελᾶν] δροσερῶν νεφελῶν.

book 338b κατέπινον] κατήσθιον.

book 339a κεστρᾶν] κεστρῶν.

book 339b κεστρᾶν] κεφάλων· εἶδος ἰχθύος.

book 339c τεμάχη] κόμματα.

book 339d μεγάλαν] μεγάλων.

book 339e κρέατ’] κρέατά ἐστιν, οὐ κρέα.

book 339f κιχηλᾶν] κιχηλῶν.

book 339f, col. 2 κιχηλᾶν] κιχλῶν.

book 340 τάσδ’] τὰς λέξεις.

book 340, col. 2 δή μοι] νῦν μοι.

book 341a θνηταῖς εἴξασι γυναιξίν: ὡμοίωνται αἱ νεφέλαι θνηταῖς γυναιξίν (342)—πορνῶν γὰρ χορὸς ὡς νεφέλαι εἰσήχθη ἐν τῇ σκηνῇ—αἱ νεφέλαι δέ, φησί, τοιαῦται οὔκ εἰσιν. καὶ ὁ Σωκράτης πρὸς αὐτόν· φέρε: ἄγε· παρολκὴ (343) τὸ “φέρε”. ποῖαι γὰρ καὶ ποδαπαί εἰσιν αἱ νεφέλαι; καὶ ὅς· οὐκ οἶδα σαφῶς καὶ ἀκριβῶς. τέως δ’ οὖν εἴξασι καὶ ὡμοίωνται αἱ νεφέλαι ἐρίοις πεπταμένοις (344) καὶ ἐξαμμένοις, οὐ γυναιξὶ κατ’ οὐδ’ ὁτιοῦν καὶ κατ’ οὐδέν, οὔ μὰ τὸν Δία. αὗται δὲ αἱ τοῦ χοροῦ ῥῖνας ἔχουσιν. εἰσήχθησαν γὰρ καὶ οἱ ὑποκριταὶ καὶ οἱ μιμούμενοι τὰς νεφέλας, εἴτε πόρναι ἦσαν, εἴτε ἄνδρες γυναῖκας μιμησάμενοι, μεγάλας ῥῖνας περιθεμένοι καὶ γελοίας.

book 341b εἴξασι p.i.m.] παρατατικὸς βοιωτικός· ἐοίκασιν ἀπὸ τοῦ “εἴκω”, τὸ “ὁμοιῶ”. εἴκω, ὁ μέλλων εἴξω, ὁ παρατατικὸς εἶκα, καὶ κατὰ Βοιωτεῖς εἶξα, εἶξας, εἶξε· τὸ πληθυντικὸν τὸ πρῶτον εἴξαμεν, τὸ τρίτον εἴξασιν. ἢ οὕτως· εἴδω, ὁ μέλλων εἴσω.

book 341b, col. 2 εἴξασι] ὡμοίωνται.

book 342a φέρε] κατὰ παρολκήν.

book 342b ποῖαι] ποταπαί.

book 343 πεπταμένοισιν] ξαινομένοις.

book 343, col. 2 ἐρίοισι] μαλλίοις.

book 344 ῥῖνας ἔχουσιν p.i.m.] διασύρει τοὺς γράψαντας εἰς τὰ ποιήματα αὐτῶν τὰς νεφέλας ἐχούσας ῥῖνας ὁμοίας γυναιξίν.

book 345 ἀπόκριναι νῦν: πρὸς τὸν Στρεψιάδου λόγον, ὅτι οὔκ εἰσι γυναῖκες αἱ νεφέλαι, φησὶν ὁ Σωκράτης· τί καινόν, εἰ γυναῖκες οὔκ εἰσιν αἱ νεφέλαι, (346/’47) νῦν δ’ αὐτὰς ὡς γυναῖκας ὁρᾷς; οὐκ ἐθεάσω ποτὲ νεφέλην ἐν τῷ ἀέρι ἐκτυπουμένην εἰς μορφὴν κενταύρου, παρδάλεως ἢ λύκου; γίνονται (348—’52) πάντα, ὅσα βούλονται· καὶ εἶτα, εἰ μὲν ἴδωσι κομήτην τινὰ καὶ λάσιον καὶ δασύτριχα, ἄγριον, ἤτοι φιλόνεον, οἷός ἐστιν ὁ Κλειτὸς ἢ ὁ Ξενοφάντου Ἱερώνυμος, κενταυρόμορφοι φαίνονται. ἂν δὲ Σίμωνα ἴδωσιν, ἅρπαγα δημοσίων, γίνονται λύκοι.

book 346

φασὶ περὶ τοῦ κενταύρου· τὰ μὲν ἄνω ἔχει ἀνθρώπου, τὰ δὲ κάτω ἵππου.

book 347 ἔγωγ’] οἶδα.

book 348 κομήτην] δασύμαλλον.

book 349 τὸν Ξενοφάντου] υἱὸν δηλονότι.

book 350 τὴν μανίαν] τὴν ἀκολασίαν.

book 351 Σίμωνα] ὃς ἐν πολλοῖς κωμῳδεῖται.

book 352a ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ: ἤτοι τὴν γνώμην καὶ τὴν προαίρεσιν τούτου καὶ τὸν ἁρπακτικὸν τρόπον.

book 352b ἀποφαίνουσαι] δεικνύουσαι.

book 353a ταῦτ’ ἄρα: καὶ διὰ τοῦτο ἄρα καὶ Κλεώνυμον τὸν δειλὸν χθὲς ἰδοῦσαι τῷ πολέμῳ ῥίψαντα τὴν ἀσπίδα καὶ φυγόντα ἔλαφοι ἐγένοντο. τὸ “ναί” (355) παρῆκεν εἰπεῖν ὁ Σωκράτης, νοεῖται δὲ ὡς ἐλλιπές· ναί, καὶ διὰ τοῦτο νῦν ἐγένοντο γυναῖκες, ὡς ὁρᾷς, ὅτι Κλεισθένην εἶδον. κωμῳδήσας εἰς ἃ κεκωμῴδηκεν, οὓς προειρήκειμεν, νῦν κωμῳδεῖ καὶ Κλεισθένην τὸν Σιβυρτίου ὡραῖον ὄντα καὶ ἀγένειον ὡς γυναικώδη καὶ πασχητίαν.

book 353b Κλεώνυμον] στρατηγὸς Ἀθηναίων.

book 353c ἰδοῦσαι] θεασάμεναι.

book 354 ἔλαφοι] δειλότατον γὰρ τὸ ζῷον.

book 355 Κλεισθένην] διότι ἦν γυναικώδης.

book 356a χαίρετε τοίνυν δέσποιναι: ταῦτα ἀκηκοὼς Στρεψιάδης παρὰ (357) Σωκράτους· χαίρετε, φησίν, ὦ Νεφέλαι παμβασίλειαι, καὶ νῦν ῥήξατε καὶ δότε κἀμοὶ φωνὴν μεγίστην, εἴπερ καὶ ἄλλῳ τινί, ἤτοι τῷ Σωκράτει.

book 356b κἄλλῳ] ἤγουν τῷ Σωκράτει.

book 358a χαῖρ’ ὦ πρεσβύτα: ὑπακούσασαι αἱ Νεφέλαι προσφωνοῦσι καὶ αὐτῷ λέγουσαι· χαῖρε, ὦ πρεσβύτα, μακροχρόνιε θηρατὰ καὶ ζητητὰ σοφῶν (359) λόγων. σύ τε, ὦ Σώκρατες, ἱερεῦ καὶ ὑπηρέτα λεπτοτάτων λήρων καὶ φλυάρου, λεπτῆς ληρολεσχίας καὶ ζητήσεως, οἷον πόθεν ἡ ἐμπὶς φθέγγεται καὶ τίς ὁ ἐπίπλους τοῦ κώνωπος καὶ ἕτερα τοιαῦτα, φράζε πρὸς ἡμᾶς, ὅ τι (360/’61) θέλεις· οὐ γὰρ ἄλλῳ τῶν νῦν σοφῶν ὑπακούσαιμεν ἢ σοὶ καὶ Προδίκῳ τῷ Χίῳ, Προδίκῳ μὲν ἕνεκα σοφίας καὶ γνώμης καὶ γνώσεως ἀληθοῦς, σοὶ (362) δέ, ὅτι βρενθύῃ καὶ σοβαρὸν βλέπεις ταυρηδὸν τὰ τῶν ὀφρύων σαρκώδη ἐπιχαλῶν, καὶ τὼ ’φθαλμὼ παραβάλλῃ καὶ τῇδε κἀκεῖσε στρέφεις τοὺς ὀφθαλμούς (363), καὶ ἀνυποδητεῖς καὶ ψῦχος ὑπομένεις ἐν τῷ χειμῶνι, καὶ ἐφ’ ἡμῖν καὶ περὶ ἡμῶν ληρολεσχεῖς σεμνῷ καὶ ἀλαζονικῷ τῷ προσώπῳ. ὥστε τὸν Σωκράτην ὁ κωμικὸς κενόσοφον δείκνυσι, Πρόδικον δὲ τῷ ὄντι σοφόν. οὗτος

book 358a ὁ Πρόδικος μετὰ πολλῶν αὐτοῦ συγγραμμάτων ἐξέθετο καὶ λόγον, ᾧ κλῆσις Πεντηκοντάδραχμος, ἐν ᾧ εἰσάγει τὸν Ἡρακλέα ἐντυγχάνοντα τῇ Ἀρετῇ καὶ Κακίᾳ, ὧν ἑκατέρας αὐτὸν καλούσης πρὸς ἑαυτὴν πρὸς τὴν Ἀρετὴν ὁ Ἡρακλῆς ἀποκλίνει προτιμῶν τοὺς ἐκείνης ἱδρῶτας τῶν τῆς Κακίας ἡδονῶν τῶν προσκαίρων. ὡς Εὐριπίδης δὲ καὶ οὗτος ὁ Πρόδικος Θηραμένους τοῦ ἐπικαλουμένου κοθόρνου διδάσκαλος γέγονεν ἑνὸς τῶν λʹ τυράννων γεγονότος.

book 358b παλαιογενές] γηραιέ, μωρέ, ἀρχαῖε.

book 359a σύ] Σώκρατες.

book 359b λήρων] λόγων.

book 359c ἱερεῦ] μυσταγωγέ, ὑπουργέ, διδάσκαλε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 359d ὅ τι χρῄζεις] ἀττικὸν συντάσσεται αἰτιατικῇ.

book 360 τῶν] ἀπό.

book 361 Προδίκῳ] τῷ Χίῳ.

book 362a βρενθύει] ἀλαζονεύει.

book 362b τὼ … παραβάλλεις] ἐπηρμένως ὁρᾷς.

book 362c παραβάλλεις] παραβάλλει.

book 363 ἀνυπόδητος] ὤν.

book 364a ὦ γῆ τοῦ φθέγματος: θειάζει τὰς νεφελὰς τὴν φωνὴν τῶν νεφελῶν ὁ Σωκράτης (365) καὶ αὐτὰς ταύτας μόνας λέγει θεὰς εἶναι, τἄλλα δὲ πάντα φλυαρίαν. (366) ὧν Στρεψιάδης ἀκούσας γελοίως λέγει· ὁ Ζεὺς δὲ ἡμῖν καὶ ἡμῶν ὁ ὀλύμπιος καὶ οὐράνιος οὐ θεός ἐστιν; πρὸς τῆς γῆς: τὴν γῆν δὲ ὄμνυσιν ὡς τοῦ Διὸς ἐκφυλλοφορουμένου θεότητος. καὶ ὁ Σωκράτης ἐξ ὧν ἀποδείκνυσιν ἐλέγχει μὴ εἶναι τὸν Δία θεόν.

book 364b ὦ γῆ] ὡς γεωργὸς ὀμνύει τὴν γῆν.

book 364c τοῦ φθέγματος] φεῦ ἐλλειπτικῶς ἀττικόν.

book 364d ἱερὸν] μέγα.

book 364e τερπνὸν] γρ. σεμνόν.

book 365 διασύρει τοὺς φιλοσόφους, ὅτι ἐθεοποίουν τὰς νεφέλας καὶ τὸ χάος καὶ τὸν ἀέρα, τὸν δὲ Δία οὐδαμῶς.

book 366a ἡμῖν] ἐν.

book 366b φέρε] εἰπέ.

book 366c πρὸς] ἕνεκα.

book 370 ὕοντ’] τὸν Δία.

book 371a καίτοι χρῆν: φησὶν ὁ Σωκράτης· εἰ Ζεὺς ὑπῆρχε θεός, ἐχρῆν καὶ ἁρμόδιον ἦν αἰθρίῳ τῷ καταστήματι, ἀπουσίᾳ τῶν νεφελῶν, γίνεσθαι ὑετούς. (372) τοῦτο ἀκηκοὼς ὁ βεστίτζης Στρεψιάδης εἰς ὀξυγάλακτος γάστραν βαπτίζεται ὡς δῆθεν μισόζευς καὶ πιστονέφελος, καί φησι· νὴ τὸν Ἀπόλλω, τοῦτό γε, ὃ περὶ τῶν νεφελῶν εἴρηκας, καλῶς τῷ νῦν κατασκευασθέντι σοι (373) λόγῳ προσήρμοσας. καίτοι πρότερον ἐδόκουν τὸν ὑετὸν γίνεσθαι τοῦ Διὸς οὐροῦντος κοσκίνῳ. ἀλλ’, ὦ παντζουριχώτατε κωμικέ, οὐ μόνον ὁ καθαρώτατος ἀὴρ Ζεὺς λέγεται, ἀλλὰ καὶ ὁ νεφελώδης, καὶ ὁ ὑετὸς δὲ αὐτὸς σὺν ἑτέροις ἄλλοις μυρίοις.

book 371b αἰθρίας] λείπει οὔσης.

book 372a τοῦτο] τὸ〈ν〉 λόγον.

book 372b προσέφυσας] προσήρμοσας.

book 374 ἀλλ’ ὅστις ὁ βροντῶν ἐστι: πεισθεὶς Στρεψιάδης, ὡς οἱ ὄμβροι οὐ γίνονται ἐκ Διός, μεταβαίνει εἰς τοὺς περὶ κεραυνῶν καὶ βροντῶν λόγους νομίζων τούτοις ἐξελέγξαι Σωκράτην, ὡς ὁ Ζεὺς ἀστράπτει καὶ κεραυνοῖ. φυσικοῖς δὲ λόγοις καὶ τούτων ἀποκρουσθεὶς τελέως τῆς σωκρατικῆς θρησκείας ἐπιλαμβάνεται καὶ αἱ Νεφέλαι αὐτῷ λέγουσι μεγάλως εὐδαιμονῆσαι, εἰ μνήμων εἴ καὶ φροντιστικός.

book 374 ἀλλ’ ἤδη καὶ τῶν κατὰ μέρος ῥητέον τινά μοι.

book 375a τῷ τρόπῳ: τίνι τρόπῳ βροντῶσιν αὗται αἱ Νεφέλαι, ὦ Σώκρατες τολμῶν λέγειν τοιαῦτα; καὶ ὁ Σωκράτης φυσικευόμενος διηγεῖται, πῶς βροντὴ (376—’78) γίνεται. ὕδατος πλησθεῖσαι, φησί,

κινούμεναι δὲ τῷ ἀέρι τῷ βάρει τοῦ ὕδατος βαρυνόμεναι ἀλλήλαις ἐμπίπτουσι καὶ κρότον ἀποτελοῦσιν, ὅς ἐστιν ἡ βροντή.

book 375b τῷ] καὶ τίνι.

book 375c τολμῶν] λέγειν.

book 376 φέρεσθαι] εἰς τό.

book 377a κρημνάμεναι: ἐπικρημνιζόμεναι καὶ φερόμεναι πρὸς ἀλλήλας· (379) ἐκ τοῦ κρήμνημι. ὁ δ’ ἀναγκάζων ταύτας φέρεσθαι οὐχ ὁ Ζεύς ἐστιν; (380) ἥκιστα, οὐδαμῶς, φησὶν ὁ Σωκράτης, ἀλλὰ δῖνος καὶ συστροφὴ αἰθερία. ὁ Στρεψιάδης δὲ τὸ “δῖνος” ἀκούσας οὔτε τὴν συστροφὴν ἐνόησεν οὔτε κλῆσιν κυρίαν, ἀλλὰ ποτήριόν τι κεραμεοῦν καλούμενον δῖνος, καὶ τοῦτο νομίζει ὡς ἄγροικος τὴν Διὸς λαβεῖν βασιλείαν, ἕνεκα τοῦ γελοίου.

book 377b κρημνάμεναι] κρημνιζόμεναι, πρὸς ἀλλήλας φερόμεναι.

book 378 ἐμπίπτουσαι] ἐμπίπτουσι.

book 380a κεραμεοῦν σκεῦος ἐν τῇ Ἀττικῇ.

book 380b ἥκιστ’] οὐδαμῶς.

book 380c αἰθέριος δῖνος] ἡ κίνησις τοῦ παντός, συστροφή, ἄνεμος.

book 381, col. 1 βασιλεύων] βασιλεύει.

book 386 Παναθηναίοις: τὰ Παναθήναια μεγίστη τῶν ἐν Ἀθήναις ἦν ἑορτῶν καὶ δημοθοινία οἵα ἐγίνετο ἐν αὐτοῖς πασῶν τῶν ἀποικισθεισῶν ἀπ’ Ἀθηνῶν πόλεων πεμπουσῶν ἑκάστης ἀνὰ βοῦν εἰς τὴν θυσίαν καὶ ἕτερα ἱερεῖα. καὶ οἱ τῶν ἄνω μὲν εἱστιῶντο τότε λαμπρῶς, οἱ δὲ πένητες ζωμοῦ μετελάμβανον μόλις σὺν τρύφει ἄρτου βραχεῖ.

book 387a διεκορκορύγησεν: ἐθορύβησεν, ἐκίνησε ψόφους καὶ κρότους ἀποτελεῖν (388—’90). ναί, φησὶν ὁ Στρεψιάδης, νὴ τὸν Ἀπόλλω, καὶ δεῖνα ποεῖ καὶ κακῶς με ἔχειν διατίθησι, καὶ τετάρακται, καὶ ὥσπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ, πρῶτον παπάξ, ἔπειτα παπαπαπαπὰξ 〈ἢ παπαπάξ〉· τὸ ἓν γὰρ τῶν ἀντιγράφων βιβλίων πέντε παπα 〈εἶχε〉, τὸ δὲ ἕτερον τρία. 〈νῦν δὲ ἑπτὰ παπα γράφε〉,

book 387a, col. 2 παπαπαπαπαπαπάξ. ἑπτὰ παπα νῦν,

book 387a μήτε πέντε μήτε τρία· ἄμετρος ὁ στίχος γὰρ τῶν ἑπτὰ δίχα.

book 387b διεκορκορύγησεν] καὶ ἐθορύβησε καὶ ἠχῆσαι ἐποίησεν. κυρίως ἐπὶ τῶν ἐντέρων.

book 391, col. 2 κομιδῇ] λίαν.

book 392a σκέψαι τοίνυν: συγκαταθέντος Στρεψιάδου καὶ εἰπόντος πρὸς Σωκράτην οὕτω ταῦτα ἔχειν καὶ αὐτῷ οὕτω συμβῆναι πολλάκις ὁ Σωκράτης πάλιν φησὶ πρὸς αὐτόν· σκέψαι καὶ ἀναλόγισαι τοίνυν, Στρεψιάδη, εἰ ἀπὸ γαστριδίου τυννουτουὶ ἤγουν σμικροῦ—σφίγξας τοὺς δακτύλους δείκνυσι— τοιαῦτα πέπορδας, τὸν τοσοῦτον ἀέρα πῶς οὐκ εἰκὸς μεγάλα βροντᾶν. βροντὴ (394) καὶ πορδή: πρὸς τὸ πάρισον παίζει.

book 392b σκέψαι] ἀναλόγισαι.

book 392c τυννουτουὶ] μικροῦ.

book 392b, col. 2 τυννουτουὶ] σμικροῦ.

book 396a καταφρύγει: ἕξ εἰσιν εἴδη τῶν κεραυνῶν· ψολόεντες, πυρόεντες, σκηπτοί, ἑλικίαι, ἀργῆτες καὶ καταιβάται, ὧν οἱ μὲν φρύγουσι καὶ ἀποτεφροῦσι βάλλοντες, οἱ δὲ περιφλύουσι καὶ ἀσβολοῦσιν ἤτοι μελαίνουσιν, ἄλλοι δὲ ἡμιφλέκτους δρῶσι τοὺς βεβλημένους.

book 396b τοὺς οἷον νεκροὺς διὰ τὸ φιλοσόφως ζῆν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 396c βάλλων] γρ. μᾶλλον.

book 396d τοὺς δὲ] τινὰς δέ.

book 396e περιφλύει] μελαίνει.

book 397 ἐπὶ τοὺς ἐπιόρκους] κατὰ τῶν ἐπιόρκων.

book 398a μῶρε καὶ Κρονίων ὄζων: τὸ σχῆμα ἐκ παραλλήλου τὸ αὐτό, ταὐτόν, ἀντὶ τοῦ "ὦ μωρὲ καὶ ἀφρονέστατε". μῶρος δὲ ὁ μωρὸς ἀττικῶς. Κρονίων ὄζων: πάλιν μωρέ φησιν ἤτοι· ὦ ἀποπνέων καὶ ἐμφαίνων Κρονίων καὶ τῶν ἐπὶ Κρόνου ἀνθρώπων ἀπραγμοσύνην καὶ εὐήθειαν. τοιοῦτοι γὰρ εἶναι λέγονται οἱ ἐπὶ Κρόνου. καὶ τὸ "βεκκεσέληνε" πάλιν μωρέ φησιν ἀπὸ ἱστορίας διπλῆς. ἱστορία: ἐπὶ Ψαμμιτίχου βασιλέως Αἰγύπτου Αἰγύπτιοι καὶ Φρύγες—τινὲς δὲ καὶ ἑτέρους φασί—φιλονεικοῦντες περὶ ἀρχαιότητος ἦσαν. Ψαμμίτιχος δὲ οὕτως αὐτοὺς ἔκρινε· λαβὼν δύο γυναῖκας ἐπίτοκας βασιλικαῖς οἰκονομίαις τὰ τέκνα τεκεῖν καὶ θηλάζειν ἀφώνως πεποίηκε καὶ τὴν πᾶσαν τελεῖν τῶν βρεφῶν θεραπείαν εἰσαγομένας τοῖς τεταγμένοις εἰς τοῦτο καὶ πάλιν ἐξαγομένας. οὐ μὴν ἐγλωσσοτόμησε καθ' Ἡρόδοτον· ἀπάνθρωπον γὰρ τοῦτο. τουτοΐ. οὐδὲ προβάτοις τὰ βρέφη ἐνέκλεισεν· εἰ γὰρ προβάτοις ἦσαν συγκεκλεισμένα καὶ βὲκ εἶπον, οὐ φυσικὴν αὐτοδίδακτον ἀρχαίαν εἶπον, ἀλλὰ προβάτων φωνὴν

book 398a ἐκ τούτων αὐτὴν διδαχθέντα τῷ συνεῖναι αὐτοῖς· βὲκ γάρ φασι καὶ τὰ πρόβατα. ἀλλ', ὡς εἶπον, αὐτὸς οὕτως ἀνήγετο τὰ βρεφύλλια ταῖς μητράσιν ἀφώνως εἰσαγομέναις ἐξαγομέναις τε τοῖς φυλάσσουσι πολλῇ προσοχῇ. τρίτῳ δὲ ἢ τετάρτῳ ἐκ τοῦ τοκετοῦ ἔτει τὰ βρεφύλλια ὑπανοιχθείσης τῆς θύρας τοῦ δώματος δωματίου προσελθόντα τοῖς φύλαξι χεῖρας ὑφήπλου καὶ βὲκ ἔλεγε συνεχῶς.

book 398a ἀκουσθέντος δὲ τούτου συναγαγὼν πᾶν ἔθνος Ψαμμίτιχος ἠρώτησε καὶ εὗρε τὸν ἄρτον παρὰ Φρυξὶ βὲκ καὶ βέκκος καλούμενον· καὶ οὕτω πάντων ἀρχαιοτέρους ἔκρινε Φρύγας. ἔχεις τὴν βὲκ ἱστορίαν. ἱστορία ἑτέρα: τὴν ἑτέραν ἤδη μάνθανε. τοὺς Ἀρκάδας προσελήνους ἐκάλουν, οἱ μὲν ὡς ὑβριστάς—προσελοῦν γὰρ τὸ ὑβρίζειν—, οἱ δέ, ὅτι οἱ Ἀρκάδες, φασίν, ἔλεγον πρότεροι τῆς σελήνης ὑπάρχειν. τὸ οὖν "βεκκεσέληνε" τὰς δύο μίξαν ἱστορίας, ἃς ἔφην, δηλοῖ τὸ "μωρέ", ὡς οἱ ἐρευνῶντες περὶ τοῦ "βέκ" καὶ οἱ Ἀρκάδες ἐκεῖνοι οἱ τῆς σελήνης εἶναι πρότεροι λέγοντες. ἐγὼ δὲ προσελήνους τοὺς Ἀρκάδας φημὶ ὡς πρώτους ἁπάντων ἀνθρώπων αὐξιμειώσεις καὶ πάθη σελήνης ἐπιτηρήσαντας, καὶ ὅτι καὶ πρὸ μιᾶς ἡμέρας τοῦ μέλλειν γεννᾶσθαι σελήνην ὀπτῶντες πυρὶ βαλάνους κατήσθιον. (399—401) Σίμων, Κλεώνυμος, Θέωρος ἐπίορκοι. Σούνιον: ἀκρωτήριον

book 398a Ἀθηνῶν. οὐκ ἔχει τι περινενοημένον καὶ ἀσαφὲς τουτὶ τὸ χωρίον τοῦ λόγου.

book 398b Κρονίων] τῶν ἀνθρώπων τῶν ἐπὶ τοῦ Κρόνου ὡς μωρῶν.

book 398c βεκκεσέληνε] μωρέ.

book 402a παθών] βουλόμενος.

book 402a, col 2 παθών] μαθών.

book 402b ἐπιορκεῖ] ἐπίορκοι.

book 404a ἄνεμος ξηρὸς: φησὶ φυσιολογῶν νῦν· καὶ πῶς ὁ κεραυνὸς γίνεται; ὅτι, ὅταν ξηρὸς ἄνεμος εἰς αὐτὰς ἐγκλεισθῇ λεπτυνθεὶς τῇ κινήσει, φυσσᾷ καὶ ἐξογκοῖ καὶ ἀνοιδαίνειν ταύτας ποιεῖ ὥσπερ κύστιν καὶ φύσκαν, ἥπερ τροπῇ τοῦ κ εἰς ἕτερον ς φύσσα λέγεται. εἶτα, φησί, ῥήξας αὐτὰς τῇ βίᾳ καὶ τῆς κινήσεως τῇ σφοδρότητι σοβαρὸς καὶ σευόμενος ἤτοι ὁρμῶν ῥαδίως ἐξέρχεται αὐτὸς ἑαυτὸν ἐκπυρῶν καὶ ἐκκαίων τῇ πυκνότητι τῇ τῶν νεφελῶν καὶ τῇ ῥύμῃ τῇ ἑαυτοῦ ἤγουν τῇ σφοδροτάτῃ καὶ οὐ μετρίᾳ φορᾷ καὶ κινήσει.

book 404b ἄνεμος ξηρὸς] θερμὴ ἀναθυμίασις.

book 405 κῦστιν (sic)] φύσκαν.

book 406 σοβαρὸς] σφόδρα ὁρμῶν, βαρέως σευόμενος.

book 407 τοῦ ῥοίβδου] τοῦ ἤχου.

book 408a Διασίοισιν: ἐν τῇ ἑορτῇ τοῦ Διός.

book 408b νῦν οὐ δεῖται παραδείγματος Στρεψιάδης, αὐτὸς δέ φησιν, ὃ ἐπεπόνθει ἐν τῷ μὴ κατασχᾶν τὴν γαστέρα παράδειγμα.

book 408c ἀτεχνῶς] φανερῶς.

book 408c, col. 2 Διασίοισιν] ἑορτῇ τοῦ Διός.

book 408d Διασίοισιν] ἐν ἑορταῖς τοῦ Διὸς τοῦ Μειλιχίου.

book 409 ἔσχων] ἔσχασα.

book 409, col. 2 γαστέρα] κοιλίαν.

book 410a λακίσασα: διαρραγεῖσα· λακῶ λακήσω, ἀττικὸν δὲ λακίζω φησὶ παραγώγως.

book 410b διαλακίσασα] διαρραγεῖσα.

book 410b, col. 2 διαλακήσασα] διαλακίσασα.

book 410c διαλακίσασα] ἀττικῶς.

book 411 προσετίλησεν: θερμὸν ὑγρὸν ἐξηκόντισεν, ἐτζίλησεν.

book 412 παρ’ ἡμῶν] τῆς.

book 414 ταλαίπωρον] κοπηρόν, ὑπομονητικόν.

book 414, col. 2 ταλαίπωρον] ὑπομονικόν.

book 415, col. 2 μὴ] οὐ.

book 416a ἄχθει] ἄχθῃ.

book 416b ἄχθει] βαρύνῃ καὶ θλίβῃ.

book 416c ἀριστᾶν] τρώγειν.

book 417a οἴνου τ’ ἀπέχει: αἱ Νεφέλαι δῆθεν ζητητὴν τοιούτων πραγμάτων ὁρῶσαι Στρεψιάδην φασὶ πρὸς αὐτόν· ὦ ἐπιθυμητὰ μεγάλης σοφίας τῆς παρ’ ἡμῶν, εὐδαίμων ἔσῃ, εἰ ταλαιπωρεῖς καὶ γυμνιτεύεις χειμάζων τρίβωνι μόνῳ, ὡς οἱ φιλόσοφοι, καὶ ῥιγῶν οὐκ ἄχθῃ καὶ βαρύνῃ καὶ θλίβῃ λίαν, οὐδ’ ἀριστᾶν, νῦν τρυφᾶν, ἐπιθυμεῖς οἴνου τε ἀπέχῃ καὶ τῶν ἄλλων ἀνοήτων, πάντων ἡδέων καὶ τρυφαῖς ἀνηκόντων φησίν. δυσχέρειά τις οὐκ ἔστιν ἐνταυθοῖ νοημάτων. (420—’22) φησὶ δὲ ὁ Στρεψιάδης πρὸς ταῦτα· ἀλλ’ ἕνεκά γε καρτερικῆς ψυχῆς καὶ στερεᾶς, μερίμνης τε καὶ φροντίδος, τοῦ κακοκοιτεῖν ἐπὶ κλίνης κόρεων μεστῆς,

book 417a, col. 2 ἢ χόρτῳ βραχεῖ ἢ τροχμαλίῳ καὶ προδουλείῳ, καὶ μερίμνης φειδωλοῦ,

book 417a καὶ γαστρὸς τρυχούσης καὶ δαμαζούσης τὸν βίον καὶ τὴν ζωήν, καὶ θύμβρους θύμβρα ἐσθιούσης—ἔστι δὲ θύμβρος τὸ θρύμβον βοτάνη ἀγρία—θαρρῶν ἕνεκα τούτων, ἤτοι τοῦ γενέσθαι σοφός, ἐπιχαλκεύειν παρέχοιμ’ ἂν ἤτοι δίδωμι ἐμαυτὸν ὑπομένειν πᾶσαν κακοπάθειαν, ὥσπερ τις ἄκμων τὰς πληγὰς τῶν χαλκέων. τὸ δὲ “ἀμέλει” περιττῶς κεῖται.

book 417b ἀνονήτων (sic)] ἤγουν τῶν.

book 418 ἄνδρα] νομίζειν.

book 419 νικᾶν] ἔσῃ δεξιός.

book 421a τρυχούσης τὸν βίον.

book 421b τρυσιβίου] τρυχούσης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 421c θρυμβεπιδείπνου (sic) p.i.m.] εὐτελῆ ἐσθιούσης· θύμβρος εἶδος βοτάνης.

book 422a ἀμέλει] παρέλκον, ἢ ἀφροντίστει.

book 422b ἐπιχαλκεύειν ... ἄν] δίδωμι ἑαυτὸν ὑπομένειν πᾶσαν κακοπάθειαν, ὥσπερ ὁ ἄκμων.

book 423a ἀλλ' ὅτι δῆτ' οὖν νομιεῖς: καὶ ὁ Σωκράτης· οὐ ταῦτα τοσοῦτον ἐγὼ θέλω, ἀλλ' ὅτι οὖν, καὶ δή, νομιεῖς θεῶν οὐδένα, ἢ ἀλλ' ὅτι οὐ νομιεῖς εἶναι θεὸν οὐδένα, ἢ ἀπὸ τῶν θεῶν οὐδένα, πλὴν ἅπερ ἡμεῖς ἡγούμεθα θεούς. καὶ ὁ Στρεψιάδης ἐνστατικώτερον ὑπισχνεῖται ταῦτα φυλάξαι λέγων τοῖς ἄλλως δοξάζουσι παρὰ τὰ σοὶ δεδογμένα οὐδ' ἂν ἀπαντῶν ἀτεχνῶς καὶ φανερῶς ἐν ταῖς ὁδοῖς διαλεχθείην ἤτοι οὐκ ἂν προσαγορεύσαιμι.

book 423b οὐ θέλω τοιαῦτα μόνον σε ποιεῖν.

book 423c ἀλλ' ὅτι] σκόπει, ὅπως.

book 423d ἡμεῖς] διδάσκομεν.

book 424a τὸ Χάος] ἤγουν τὸν ἀέρα· ἀπὸ τοῦ διαχεῖσθαι.

book 424a, col. 2 τὸ Χάος] τὸν ἀέρα.

book 424b τὴν γλῶτταν] καὶ τὴν διδαχήν· ἤγουν τὸ ὄργανον, δι' ὅ τι δημηγορεῖ καὶ βουλεύει.

book 425 ἀτεχνῶς] διόλου.

book 426a λιβανωτόν: λίβανος ὄνομα ὄρους καὶ δένδρου, λιβανωτὸς δὲ τὸ δάκρυον τούτου, τὸ θυμίαμα.

book 426b θυσία ἐπὶ τῶν ξηρῶν, σπονδὴ ἐπὶ τῶν ὑγρῶν.

book 427a ὅ τι] καὶ τί.

book 427b ὡς] ὅτι.

book 427c οὐκ ἀτυχήσεις] οὐκ ἀποτεύξῃ.

book 428 δεξίος: ἀλλαχοῦ μὲν περιδέξιος, εὐφυής, νῦν δὲ σοφός.

book 429a ὦ δέσποιναι δέομαι: ὁ Στρεψιάδης πρὸς τὰς Νεφέλας φησί· δέομαι ὑμῶν τοῦτο μικρὸν πάνυ, εἶναι καὶ ὑπάρχειν ἐμὲ εἰς τὸ λέγειν ἄριστον καὶ ἀριστότερον τῶν Ἑλλήνων ἑκατὸν σταδίοις, ἢ δέομαι ὑμῶν—λείπει τὸ "ποιήσατε"—εἶναί με λέγειν ἀριστότερον τῶν Ἑλλήνων ρ' σταδίοις. τὸ "δέομαι" γενικῇ συντάσσεται τῇ κοινῇ συνηθείᾳ, διαλέκτῳ, ἀττικῶς δὲ αἰτιατικῇ, ὡς νῦν. τὸ "ἄριστον" ἀριστότερον, ὑπερθετικὸν ἀντὶ συγκριτικοῦ.

book 429b, col. 2 πάνυ μικρόν] ἀστεῖον τοῦτο.

book 430a ἑκατὸν σταδίοισιν: δέον εἰπεῖν· ποιήσατέ με ὑπερφέρειν πολλῷ τῶν Ἑλλήνων ἐν τῷ λέγειν, ὡς ὢν γεωργικὸς γεωργικῇ χρῆται τροπῇ καί φησι· ποιήσατέ με ὑπερφέρειν ἐν τῷ λέγειν τῶν Ἑλλήνων ἑκατὸν σταδίοισιν. οἱ ἑπτὰ δὲ καὶ ἥμισυς στάδιος ποιοῦσι μίλιον ἕν. εἰ δὲ σαφέστερον βούλει μαθεῖν, τετρακόσιοι πήχεις ἐστὶν τὸ στάδιον. ὁ στάδιος.

book 430b τὸ μίλιον ποδῶν ͵δχ', τὸ στάδιον ποδῶν χ', τὸ βῆμα ποδῶν ε' ἡμίσεος, ὁ ποὺς δακτύλων ις'.

book 430c λέγειν] εἰς τό.

book 430d ἄριστον] ἀριστότερον.

book 431a ἀλλ' ἔσται σοι τοῦτο: ὁ "ἀλλά" περιττὸς τῇδε κεῖται. ὁ δὲ νοῦς· ὑπισχνοῦνται πάντα τούτῳ πληροῦν αἱ Νεφέλαι καί φασιν· ἔσται σοι τοῦτο παρ' ἡμῶν, ὅπερ θέλεις, καὶ οὐδεὶς ἀπὸ τοῦ νῦν χρόνου νικήσει 〈σε〉 ἐν τῷ δήμῳ εἰς γνώμας καὶ συμβουλὰς περὶ μεγάλων ὑποθέσεων λεγομένας. (433/'34) καὶ ὁ Στρεψιάδης· οὐ γνωμῶν συμβουλευτικῶν μεγάλων τοιούτων ἐπιθυμῶ, ἀλλ' ἐπιθυμῶ λέγειν ὅσα ἐμοὶ συναρεῖται παρατρέψαι τὰς δίκας καὶ τοὺς χρήστας καὶ δανειστὰς πεφευγέναι.

book 431b τοῦδε] καιροῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 432a γνώμας] λέγων.

book 432b γνώμας] συμβουλάς.

book 432c γνώμας] λείπει λέγων.

book 433a μή] ποιήσητε.

book 433b γνώμας] συμβουλάς.

book 433, col. 2 γνῶμας] γνώμας ἔλεγον καὶ τὰς δημηγορίας.

book 434a στρεψοδικῆσαι: παρατρέψαι τὰς δίκας, ὅθεν ὁ γέρων καὶ Στρεψιάδης ἐκλήθη. χρήστης καὶ δανειστὴς πρὶν τί διαφέρουσιν εἶπον. νῦν δὲ παραχρηστικῶς—λέγε, μὴ καταχρηστικῶς—χρήστας καλεῖ τοὺς δανείζοντας.

book 434a, col. 2 χρήστας καλεῖ τοὺς δανείζοντας παραχρηστικῶς.

book 434b διολισθεῖν: ἐκφυγεῖν, ἀποδράναι παραλογιζόμενος τοὺς ἀντιδίκους εὑρεσιλογήμασιν εὐστόμοις καὶ ὀλισθαίνουσιν.

book 434c ἐμαυτῷ στρεψοδικῆσαι] καὶ στρέψαι τὰς δίκας ἐν ἐμαυτῷ.

book 434d διολισθεῖν] καὶ ἐκφυγεῖν. πρὸς ταύτην τὴν λέξιν πεποίηται τῷ γέροντι τὸ ὄνομα.

book 436a ἡμετέροις προπόλοισι: δούλοις, ὑπηρέταις, προφήταις, ἡμῶν προοδεύουσι· νῦν δὲ τὸν Σωκράτην φησὶ καὶ τοὺς σὺν αὐτῷ.

book 436b τοῖς ... προπόλοισι] ἤγουν τῷ Σωκράτει καὶ τοῖς σὺν αὐτῷ.

book 436b, col. 2 τοῖς ... προπόλοισι] ἤτοι τοῖς φιλοσόφοις.

book 437a δράσω τοῦτο, φησὶν ὁ Στρεψιάδης, ἡ γὰρ ἀνάγκη καὶ βία πιέζει με (438) καὶ θλίβει διὰ τοὺς ἵππους καὶ τὸν γάμον ἤγουν διὰ τὴν ἱπποτροφίαν τοῦ ἐμοῦ παιδὸς καὶ τὴν ὑπερήφανον ἣν ἔγημα γυναῖκα, ἥ με συνέτριψε τὰ μὲν τοῦ ἐμοῦ βίου ταῖς τρυφαῖς αὐτῆς ἀναλοῦσα, τὰ δὲ συνωθοῦσα εἰς ἵππων ὠνὴν τῷ παιδὶ καταβάλλειν.

book 437b πιέζει] στενοχωρεῖ.

book 439a νῦν οὖν οἱ περὶ Σωκράτην φιλόσοφοι χρήσθων καὶ χρήσθωσαν— ἀττικῶς τοῦτο—τὸ ἐμὸν σῶμα εἰς ὅ τι βούλονται—τὸ "χρῶμαι" δὲ ἀττικῶς αἰτιατικῇ—ἢ χρήσθων ὅ τι βούλονται· τοῦτο τὸ ἐμὸν σῶμα παρέχω αὐτοῖς (442) εἰς τὸ καὶ τό· αὐχμοῦν: καὶ ἀλουτεῖν, ῥιγοῦν: ψύχος ὑπομένειν, ῥιγεῖν δὲ φοβεῖσθαι, ἀσκὸν δέρειν: δέρειν καὶ ἐκδέρειν ὡς ἀσκὸν ἢ δαίρειν καὶ (443) τύπτειν ὡς ἀσκὸν καὶ ἀναίσθητον δέρμα, εἴπερ ἐκφυγεῖν μέλλω τὰ χρέα. παραμιγνύει δὲ τοῖς σπουδαίοις καὶ ἀναγκαίοις καὶ τὰ γελοῖα. ὡς εἴ τις εἴποι· εἰ μέλλω τυχεῖν τινος ἀγαθοῦ καὶ τοῖς ἀνθρώποις ἄγεσθαι δι᾽ αἴνου, πάντα τὰ δυσχερῆ ἕτοιμός εἰμι καρτερεῖν, οὕτω καὶ οὗτος ἕνεκα τοῦ γελοίου φησίν· ὑπομενῶ τὰ καὶ τά, εἰ μέλλω ἐκφυγεῖν τὰ χρέα καὶ εἰ τοῖς ἀνθρώποις (445) νομίζεσθαι μέλλω θρασύς: ἀκατάστατος, ἀλόγιστος. ἴτης: νῦν ἰταμός,

book 439a (446/447) ὠμός, σκληρός. βδελυρός: μισούμενος ἢ αἱμοπότης. περίτριμμα (448) δικῶν: ἐντριβὴς ἐν ταῖς δίκαις, φιλοδικώτατος. κύρβις: ἐρευνητὴς παντὸς πράγματος, ἐρευνόβιος· κύρβις γὰρ σανὶς ἦν γεγραμμένα τινὰ δημόσια ἔχουσα. κρόταλον: λάλος, περιηχητικός, θορυβώδης· ἀπὸ τοῦ χαλκοῦ κροτάλου, ὅπερ φαμὲν χειροκύμβαλον. κίναδος: πόρνος, πανοῦργος· ἀπὸ τῆς ἀλώπεκος, ἥπερ κίναδος λέγεται. τρύμη: ἡ ὀπή· νῦν δὲ ἀνατρυπητὴς καὶ (449) ζητητὴς καὶ ἀναμοχλευτὴς λεπτοτάτων πραγμάτων. μάσθλης: ὁ μεμαλαγμένος ἐλαίῳ λῶρος· νῦν δὲ ἐντριβὴς καὶ μεμαλαγμένος καὶ ἔμπειρος θορύβων ἀγοραίων. εἴρων: ὑποκριτής, ἄλλος φαινόμενος, ἄλλος δὲ τὸν τρόπον ὑπάρχων. γλοιός: ῥυπαρός· γλοιὸς γὰρ ἡ τρὺξ καὶ ὁ ῥύπος τοῦ ἐλαίου. (450) ἀλαζών: ἄλῃ καὶ πλάνῃ ζῶν καὶ μηδὲν ὀρθὸν ἔχων βίῳ. κέντρων:

ἔμπικρος, ὡς τὰ κέντρα σκορπίων. στρόφις: ἀναστρέφων πράγματα, θορυβώδης ἢ κατά τινας εὐτράπελος καὶ εὔστρεπτος, τῇδε κἀκεῖσε περιστρε-

book 439a φόμενος· ἀπὸ τῶν στροφίγγων τῶν ἐν ταῖς πύλαις ἢ ἀπὸ τῶν ὑδραγωγικῶν στροφίγγων ἤτοι ἐπιτονίων. ἀργαλέος: χαλεπός, ἐργώδης, πικρός. (451) ματιολοιχός: φειδωλότατος, ὑπὸ φειδωλίας καὶ τὸν ὀβολὸν περιλείχων· μάτιον γὰρ χαλκοῦν εὐτελέστατον νόμισμα.

book 439b χρήσθων] χρήσθωσαν· ἀττικῶς.

book 442a αὐχμεῖν] ἀλουτεῖν.

book 442a, col. 2 αὐχμοῦν] αὐχμεῖν.

book 442b ἀσκὸν δαίρειν] ὡς παροιμία ἐπὶ τῶν πολλὰ τυπτομένων.

book 442b, col. 2 δέρειν] δαίρειν.

book 444 δόξω] εἴπερ.

book 445 ἴτης] ἰταμός, ὀξύς.

book 446 βδελυρός] μισούμενος.

book 447a εὑρησιεπής] εὑρησιλόγος.

book 447b περίτριμμα δικῶν] ἐντριβὴς ἐν ταῖς δίκαις.

book 447b, col. 2 περίτριμμα δικῶν] πανοῦργος εἰς δίκας.

book 448a κύρβις σανίς, ἐν ᾗ ἔγραφον τοὺς νόμους καὶ τὰ δημόσια· ἀπὸ τοῦ κεκορυφῶσθαι τὰ ἄνωθεν καὶ κάτωθεν κύρφις καὶ κύρβις.

book 448b ἀντὶ τοῦ "εὔλαλος ὡς τὸ κρόταλον".

book 448c πανοῦργος· ἐκ μεταφορᾶς τῆς ἀλώπεκος.

book 448d τρυπάνιον, ἀναμοχλευτὴς τῶν πραγμάτων.

book 448e κύρβις] ἔμπειρος τῶν νόμων, δικολόγος.

book 448e, col. 2 κύρβις] περίεργος.

book 448f κρόταλον] εὔστομος, στωμύλος.

book 448g κίναιδος] εἶδος ἀλώπεκος.

book 448h τρύμη] τα.

book 449 εἴρων] κόλαξ, ἐπιτήδειος καὶ ἔμπειρος πραγμάτων.

book 449a, col. 2 γλοιός] ῥυπαρός.

book 449b ἀλαζών] πλάνος.

book 450 κέντρων] ποικίλος, ἔμπικρος.

book 450, col. 2 κέντρων: πικρός, κάκιστος, ὥσπερ σκορπίος. κέντρον καλεῖται καὶ τὸ σάγμα τῶν ὄνων.

book 451a φειδωλότατος· μάτιον γὰρ νόμισμα εὐτελέστατον ὀνομάζουσιν.

book 451b στρόφις] σκανδαλοποιός.

book 451c ἀργαλέος] λυπηρός.

book 451d ματιολοιχός] ἀπὸ τοῦ λείχειν οἱονεὶ τὸ μάτιον ἤγουν τὸ νόμισμα.

book 451d, col. 2 ματιολοιχός] ματαιολόγος.

book 452a ταῦτ᾽ εἴ με καλοῦς᾽ ἀπαντῶντες: εἰ συναντῶντες ἐμὲ τοιούτοις (453) καλεῖν βελτίστοις ὀνόμασι μέλλουσι, ποιείτωσαν ἀτεχνῶς καὶ φανερῶς (454/455) καὶ καθόλου, ὃ χρῄζουσι, καὶ εἰ βούλονται, νὴ τὴν Δήμητραν, καὶ (456) χορδὴν καὶ ἔντερον ἐμόν—δηλοῖ δὲ τὸ κοπραγωγόν—παραθέντων καὶ παραθέτωσαν τοῖς φροντισταῖς καὶ διδασκάλοις τοῖς περὶ Σωκράτη(ν). ταυτὶ

μὲν τὰ τῆς εἰρωνείας καὶ τὰ κρυπτόμενα, τὸ φῶς δὲ τοῦ λόγου· φησί· τίνος ἕνεκα, ὦ τρισάθλιοι φιλόσοφοι τοσούτοις πόνοις καὶ ἀνιαρῷ καὶ σκληρῷ βίῳ ἐγκαρτερεῖτε, ἢ ἵνα τοιούτων κατήκοοι γίνοισθε κλήσεων, οἵας νῦν εἶπον αὐτός, καὶ αὐτοὶ δὲ ταύτας παρὰ πάντων καλεῖσθαι 〈ἴστε〉; πῶς δ' ἂν ἐγὼ φρονῶν τὴν ὑμετέραν σκληρὰν διαγωγὴν ὑπομείναιμι, ἢ ἕνεκα τίνος; τοῦ λαβεῖν ὄνομα γλοιός, ἀλαζών, μιαρὸς καὶ τοιαῦτα; ὡς εὖγε τοῦ σκληροβίου ὑμῶν καὶ τῆς ἀμοιβῆς τούτου τῆς ἐπαξίας τῶν κλήσεων. ἀπὸ δὲ τοῦ "νῦν οὖν χρήσθων" μέχρι τοῦ "τοῖς φροντισταῖς παραθέντων" ὀκτωκαίδεκά εἰσι κῶλα ἀναπαιστικά,

book 452a ἅπερ διαρθροῦν οὐ χρεὼν εἰς βαρβάρους.

book 452b ἀπαντῶντες] γρ. ἅπαντες.

book 453,col.2 δρῴντων] δράτωσαν οἱ φιλόσοφοι.

book 455a ἐκ μοῦ (sic)] ἐξ 〈ἐ-〉.

book 455b χορδὴν] τὸ ἔντερον τὸ κοπραγωγόν.

book 456 φροντισταῖ] διδασκάλοις.

book 457a λῆμα μὲν πάρεστι: λῆμα τὸ φρόνημα δι' ἑνὸς μῦ· λῶ τὸ "θέλω", καὶ ἐξ αὐτοῦ λῆμα. λῆμμα δὲ ἡ λῆψις καὶ τὸ δῶρον διὰ δύο μῦ· ἐκ τοῦ "λήβω, λήψω". τί δὲ χρὴ λέγειν ἢ κατὰ τούτους ἢ καθ' ἡμᾶς τὰ μέτρα, πόνοις μὲν τὰ πλημμελῆ τούτων ὀρθοῦντας, ὠσὶν δ' ὄνων δοκοῦντας ἐγκρούειν λύραν; οἱ παλαιοί φασιν· "ἡ περίοδος ἑνδεκάκωλος, ὧν τὸ μὲν πρῶτον τροχαϊκὸν δίμετρον καταληκτικόν"· ἔστι δὲ καθ' ἡμᾶς δίμετρον ἀκατάληκτον.

book 457a τὸ δεύτερον βέβρωτο τοῖς βιβλογράφοις τρίμετρον τροχαϊκὸν καταληκτικὸν καθ' ἡμᾶς ὄν. "τὸ γʹ πενθημιμερὲς δακτυλικόν. τὸ δʹ ἀναπαιστικὸν πενθημιμερές. τὸ εʹ "ἐν βροτοῖσιν ἕξων" φερεκράτειον ἀτελές. τὸ ϛʹ ἰαμβικὴ βάσις" ἤτοι μονόμετρον ἰαμβικόν. "τὸ ζʹ ἀναπαιστικὴ προσοδιακὴ περίοδος δωδεκάσημος. τὸ ηʹ ὅμοιον τῷ ζʹ. τὸ θʹ" ἰαμβικὸν πενθημιμερὲς ὂν "δακτυλικὸν" λέγουσι. καὶ πρὸ τούτου ἕτερα τοιαῦτά τινα. "τὸ ιʹ δισύλλαβόν" φασι "κατὰ πόδα κρητικόν"· ὁ Τζέτζης δέ, ὡς ἔοικε, οὔτε ποιητικὰ μέτρα εἰδώς, οὔτε δὲ συλλαβῶν ἀριθμόν, φησὶ τρίμετρον εἶναι δακτυλικὸν καταληκτικὸν καὶ ὀκτασύλλαβον οἴεται τοῦτο, καὶ οὐ δισύλλαβον. "τὸ ιαʹ", τὸ "ὄψομαι", "τρισύλλαβον" ἐκεῖνοί φασι· καὶ κατά γε τοῦτο ἀληθεύουσιν, ὁποῖον δὲ τὸ μέτρον ἐστίν, οὔ φασιν. ὁ Τζέτζης δέ φησιν· εἰ τὸ "μαι"

book 457a βραχὺ δέξῃ, δακτυλικὸν ὑπάρχει μονόμετρον, εἰ δ' ὡς μακρὸν δέξῃ τὸ "μαι", γίνωσκε τοῦτο τροχαϊκὸν καταληκτικὸν κατὰ διποδίαν μονόμετρον. ἀλλὰ μάταιος, ὡς ἔφην, ἂν εἴην, εἰ κἀν τοιούτοις ἀκερδεῖς πόνους ὑφίσταμαι μηδὲ κἂν ψιλὴν καὶ λόγοις μόνοις ἔχοντας χάριν, ἀλλὰ πολλοῖς πολλάκις ὠφελημένοις ἡμῶν τοῖς συγγράμμασι καὶ φθόνον, ἐνίοτε δὲ καὶ λαθραίας τιμωρίας ἀντ' ἀμοιβῶν.

book 457b ἀλλ' ἤδη καὶ τὴν διάνοιαν ἡμῖν λεκτέον τῶν λέξεων. πρὸς τὰ εἰρημένα τῷ Στρεψιάδῃ φησὶν ὁ Σωκράτης· φρόνημα μὲν καὶ σύνεσις—ἀλλαχοῦ γὰρ καὶ ἡ κενοδοξία—τῷδε τῷ γέροντι τολμηρὸν καὶ καρτερικόν ἐστι καὶ (458—'64) πρόθυμον. εἶτ' ἀποστρέψας τὸν λόγον φησὶ πρὸς αὐτόν· ἴσθι δὲ καὶ νόει, ὡς ταῦτα μαθὼν παρ' ἐμοῦ τὸν πάντα χρόνον μετ' ἐμοῦ ζηλωτότατον καὶ μακαριώτατον βίον καὶ ζωήν, ἀνθρώπων διάξεις ἐν βροτοῖσιν ἕξων κλέος οὐρανόμηκες. "οὐράνιον" ὀφείλων εἰπεῖν κατὰ τὸ ὁμηρικόν, ἤγουν πολὺ καὶ μέγα καὶ οὐρανοῦ μέχρις ἱκνούμενον, κεκινδυνευμένως "οὐρανόμηκες" εἶπεν ὁ ἀβλιβότυρος. τὸ "οὐρανόμηκες" γὰρ οὔ φησι τὸ οὐρανοϋψὲς ἢ μέχρις οὐρανοῦ ἐξικνούμενον, ἀλλὰ τὸ ἶσον τῷ μεγέθει τοῦ οὐρανοῦ. ἔχεις τὸν νοῦν τοῦ λόγου, καὶ τούτου δὲ τὴν συνέπειαν, ἀλλὰ καὶ κρίσιν βραχεῖαν τοῦ ποιητοῦ. (461) τὸ δὲ "τί πείσομαι" ὑποβολικὸν σχῆμά ἐστιν. πρινὴ γὰρ τὸν Σωκράτην προενεγκεῖν εἰς

τέλος τὸν λόγον, ὡς ἐγώ σοι παρέδειξα, ὑπέβαλεν ὁ Στρεψιάδης τὸν ἑαυτοῦ λόγον καὶ διατεμὼν τὸν Σωκράτους ἐποίησε τῇ

book 457b συνεπείᾳ τὸν θόρυβον.

book 457c πάρεστι] καὶ ἔνεστι.

book 457c, col. 2 λῆμα] φρόνησις.

book 458, col. 2 ἕτοιμον] τολμηρόν.

book 459 οὐρανόμηκες] μέγα.

book 460 ἕξεις] ἢ διάξεις.

book 460, col. 2 ἕξων] ἕξεις.

book 461a τί πείσομαι] ἐμπαράβολον.

book 461b πείσομαι] πάθω.

book 465a ἆρά γε: διαπορεῖ τὸ γερόντιον ταῦτα ἀκοῦσαν καί φησιν· ἆρα ἐγὼ τοῦτο θεάσομαι; καὶ εἴποι ἄν τις κεκινδυνεῦσθαι καὶ τοῦτο τῷ ποιητῇ. ὤφειλε γὰρ εἰπεῖν ὁ γέρων· ἆρά ποτε γενοίμην τοιοῦτος; οὐ μήν· ὄψομαι τοῦτο. ἐγὼ δὲ τοῦτο καλῶς ἔχειν φημί. ἔστι γὰρ τοῦτο σχῆμα ὃ καλεῖται· πρὸς τὸ σημαινόμενον. κλέος μὲν γὰρ καὶ φήμην οὐδεὶς ὁρᾷ, τοὺς δοξάζοντας δὲ καὶ τὴν δόξαν καὶ τὴν ἀξίαν, δι’ ἣν κλείζεται, δέδορκεν. καλεῖται δὲ καὶ μετάληψις.

book 465b τοῦτ’] τὸ ζῆσαι βίον ζηλωτόν.

book 470 ἀνακοινοῦσθαι] λέγειν τὰς ὑποθέσεις αὐτῶν.

book 471a πράγματα κἀντιγραφάς: ὑποθέσεις μεγάλας καὶ γραφῶν ἀντιλογίας. οὐδὲν δύσνουν ἐνταῦθα.

book 476a ἀλλ’ ἐγχείρει: ἀλλ’ ἐπιχείρει καὶ ἀπάρχου τοῦ πράγματος ἐκείνου, ὅτιπερ καὶ ὅπερ μέλλεις προδιδάσκειν καὶ διδάσκειν τὸν πρεσβύτην. ἡ “προ” δὲ περισσῶς ἀττικῶς κεῖται, ὥσπερ τὸ προΐαψε καὶ νῆάς τε προπάσας. καὶ ἁπλῶς Ἀττικοὶ μετὰ προθέσεων τὰ πλείω φασὶ καὶ συνάρθρως δὲ πόσα. καὶ ἀλλαχοῦ πάλιν ἐπὶ τῶν γνωρίμων ἀφαιροῦσι τὰ ἄρθρα, ὡς τὸ ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει, ἀσύναρθρον ἀντὶ συνάρθρου, καὶ ἕτερα μυρία τοιαῦτα.

book 476b ἐγχείρει] κατάρχου τοῦ πράγματος.

book 477a καὶ διακίνει τὸν νοῦν αὐτοῦ: καὶ τὴν διάνοιαν αὐτοῦ κίνει καὶ ὀξυτέραν ποίει ταῖς ἐρωτήσεσι καὶ τῆς γνώμης καὶ τοῦ τρόπου τούτου ἀποπειρῶ, εἰ βαθυγνώμων ἐστὶ καὶ περίεργος ἢ ἀφελὴς καὶ ἁπλόης κρονικῆς ἀποπνέων. (478) ὁ δὲ καὶ ὁ Σωκράτης εὐθὺς αὐτὸν ἐρωτᾷ· ἄγε σὺ κάτειπέ μοι, καὶ εἰπὲ νῦν σύ, τὸν σαυτοῦ τρόπον—τὸ “κάτειπε” γὰρ κυρίως τὸ “κατά τινος εἰπέ” (479/480) σημαίνει—, ἵνα γνοὺς τὸν τρόπον τῆς διανοίας σου προσφέρω σοι προσφυεστάτους τοὺς λόγους, ὥσπερ καινάς τινας μηχανάς. ὁ ἀλιτήριος δὲ οὑτοσὶ κωμικὸς οἰκονομίᾳ καὶ μεθόδῳ δεινότητος ῥήτορος τροπικωτέραις ἐχρήσατο λέξεσι, πορθητηρίοις, τῇ “μηχανάς” φημι καὶ τῇ “προσφέρω”,

book 477a ἵνα κἂν ταύταις ταῖς λέξεσι βαθέως ὁμοῦ καὶ πικρῶς καὶ γελοίως λοιδορήσῃ Σωκράτη(ν) τῷ ἐσχηματισμένῳ καὶ τροπικῷ τῶν λέξεων ἄγαν σεμνῶς ἀντεπικρύπτων (481) τὴν ἄγαν αἰσχρότητα. φέρει γὰρ εὐθὺς Στρεψιάδην ἀκηκοότα “μηχανάς” καὶ “προσφέρω” λέγοντα· τί δέ; φοβῇ τοὺς θεούς, τειχομαχεῖν μοι διανοῇ; τί δέ: τὸ “δέ” ψιλὸν γράψον, μὴ διφθογγίσῃς· ἐπταισμένος γὰρ ὁ στίχος εὑρίσκεται τοῦ “δέ” γραφέντος διφθόγγου.

book 477a, col. 2 τριακονταδύο γὰρ ἐκ τοῦ “τί δέ;” στίχοι ἰαμβικοί εἰσι τραγικοὶ ἔκ τε δακτύλων καὶ ἀναπαίστων καὶ ἑτέρων συγκείμενοι τῶν ποδῶν, οἳ προσφυῶς ἔχουσι κεῖσθαι στίχοις ἰαμβικοῖς τραγικοῖς.

book 477b διακλίνει] ὀξύτερον ποίει.

book 477c διακλίνει] γρ. διακίνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 477d γνώμης] διανοίας.

book 478 ἄγε] φέρε.

book 479a ὅστις] ὁποῖος.

book 479b μηχανὰς] μαθήσεις ὑψηλάς.

book 482a οὐχὶ τειχομαχεῖν διανοοῦμαι, φησὶν ὁ Σωκράτης, ἀλλ’ ὡς φιλόσοφος τροπικωτέραις καὶ ὑψηλαῖς ἐχρησάμην ταῖς λέξεσι τὴν παρ’ ἐμοῦ διάπειραν τοῦ σοῦ λογισμοῦ οὕτως εἰπών. οὐ τειχομαχεῖν οὖν θέλω, ἀλλὰ βραχέα πυθέσθαι καὶ μαθεῖν ἀπὸ σοῦ βούλομαι, εἰ μνήμων καὶ εὐφυὴς εἶ. πυθέσθαι γράψον, μὴ πύθεσθαι. πύθεσθαι γὰρ μακρὸν τὸ “πυ” γίνωσκε, τὸ δὲ πυθέσθαι βραχύ· καὶ δύναται πίπτειν εἰς τετάρτην χώραν ἰαμβικοῦ, τὸ δὲ πύθεσθαι τὸ “πυ” μακρὸν ὂν εἰς τετάρτην οὐ πίπτει.

book 482b σοῦ (sic) πυθέσθαι] μαθεῖν ἀπὸ σοῦ.

book 483a εἰπόντος οὖν Σωκράτους· πυθέσθαι σου βούλομαι, εἰ μνημονικὸς εἶ, γελοίως καὶ χαριέντως ἀποκρίνεται Στρεψιάδης καί φησιν· δύο τρόπω εἰμί, νὴ τὸν Δία, καὶ μνήμων καὶ εὐφυὴς πάνυ καὶ ὁμοίως ἀφυὴς καὶ πάνυ ἐπιλήσμων· εἰ μὲν ὀφείλεται καὶ χρεωστεῖταί μοι τι, εὐφυής εἰμι πάνυ καὶ μνήμων, εἰ δ’ ὁ ταλαίπωρός τινί τι χρεωστῶ, ἀφυὴς πάνυ καὶ ἐπιλήσμων.

book 483b νὴ τὸν Δία] μνημονεύω.

book 485 σχέτλιος] χαλεπός.

book 486a ἔνεστι δῆτά σοι λέγειν: πάλιν ὁ Σωκράτης αὐτὸν ἐρωτᾷ· ἔχεις (487) φυσικὴν εὐστομίαν εἰς τὸ λέγειν; καὶ ὅς· λέγειν μὲν εὐφυὴς οὔκ εἰμι, (488) ἀποστερεῖν δέ, εἰ παρά τινος λάβω τι, πάνυ δεξιώτατος. πῶς οὖν δυνήσῃ μαθεῖν; καὶ ὁ Στρεψιάδης λέγει· καλῶς. τὸ “ἀμέλει” δὲ περισσῶς κεῖται.

book 486b ἢ φυσικὴν εὐστομίαν ἔχεις.

book 486c 486] ἤγουν εὐφυῶς ἔχεις διαλέγεσθαι.

book 487a ἔνεστ’] ἐμοί.

book 487b ἀποστερεῖν] τὰ πράγματα.

book 488 ἀμέλει] ἀφρο〈ν〉τίστει· ἢ παρέλκον.

book 489a (490) ἄγε νῦν: φέρε νῦν, ἂν εἴπω τί σοι σοφὸν περὶ τῶν μετεώρων, εὐθέως ὑφαρπάσεις, καὶ νοήσεις ταχέως; ἐπεὶ δὲ τὸ ἁρπάζειν ἐπὶ κυνῶν λέγεται, (491) ὁ Στρεψιάδης γελοίως φησί· τί δέ; ὡς οἱ κύνες μέλλω τὴν σοφίαν σιτεῖσθαι; “τί δαί” ἂν γραφῇ, καλῶς ἔχει.

book 489b προβάλωμαι] εἴπω.

book 489c σοφὸν] νόημα.

book 490 καλῶς τὸ “ὑφαρπάσεις”, ἐπεὶ λέγουσι καὶ οἱ φιλόσοφοι· ὅτι θήρασαι τὸ νόημα.

book 491 κυνηδὸν p.i.m.] ἔπαιξε πρὸς τὸ “ὑφαρπάσεις” αἰνιττόμενος τὴν κυνικὴν φιλοσοφίαν. ἴσως δὲ ἔλαβε τὸ “κυνηδόν” κἀκεῖνος ἀπὸ τῶν κυνικῶν φιλοσόφων.

book 491,col2 δέ] δαί.

book 492 ἄνθρωπος ἀμαθὴς: ὁ ἄνθρωπος οὗτος ἀμαθής ἐστιν. εἶτα ὑποστρέψας φησί· πτοοῦμαί σε, γέρον, μὴ τύπτεσθαι μέλλῃς διὰ τὴν σὴν ἀφυΐαν.

book 494a τί δρᾷς: τί δράσεις, ἄν τις σε τύπτῃ; καὶ ὁ Στρεψιάδης· εἴπω πρῶτον· (495) ὅτι τύπτομαι, ἔπειτα καρτερήσας ὀλίγον ἐκμάρτυρον τοῦτο ποιήσομαι, (496) εἶτα αὖθις καὶ πάλιν, ἀκαρῆ καὶ βράχιστον μέρος χρόνου, λιπὼν δικαζοίμην. ἀκαρῆ δὲ τὸ βραχύ· ἀπὸ τῆς βραχυτάτης πάνυ τοῦ χρόνου ῥοπῆς, ἐν ᾗ οὐδὲ κεῖραί τις ἂν ἰσχύσειε τρίχα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 494b τύπτομαι] εἴπω.

book 495a ἐπισχὼν] καρτερήσας.

book 495b μαρτύρομαι] μάρτυρας καλῶ.

book 496a ἀκαρῆ] ὀλίγον χρόνον.

book 496b δικάζομαι] εἰς δικαστήριον ἕλκω.

book 497a ἴθι νῦν κατάθου: ἴθι νῦν, φησὶν ὁ Σωκράτης, ἀπόδυσαί σου τὸ ἱμάτιον κατὰ τὸ ἔθος τῶν τότε φιλοσοφούντων· χιτωνίῳ γὰρ μόνῳ ἡμίγυμνοι ἐφιδρυμένοι ἐφιλοσόφουν. κατὰ οὖν τοῦτο τὸ ἔθος τῷ Στρεψιάδῃ· ἀπόδυσαι, εἶπεν ὁ Σωκράτης. ὁ Στρεψιάδης δὲ ὑπολαβών, ὅτι ἀποδυθῆναι τοῦτον κελεύει, ἢ ἵνα τὸ ἱμάτιον τούτου δῆθεν ὑφέληται ἢ καὶ γυμνωθέντα τοῦτον ἱμάσι τυπτήσῃ· ἠδίκηκα, φησί, τὶ καὶ ἀφαιρεῖσθαι βούλει ἐμοῦ τὸ ἱμάτιον ἢ καὶ τυπτῆσαί με; οὐχί, φησὶν ὁ Σωκράτης, οὔτε ἠδίκηκας οὔτε τι ἐγὼ τοιοῦτον βούλομαι διαπράξασθαι, ἀλλὰ νομίζεται καὶ νόμιμόν ἐστι φιλοσόφοις εἰς τὸ φροντιστήριον γυμνοὺς εἰσιέναι.

book 497b κατάθου] ῥῖψον.

book 498 νομίζεται p.i.m.] νόμιμόν ἐστι.

book 499a ἀλλ’ οὐχὶ φωράσων: ἀλλ’ ἔγωγε, φησὶ Στρεψιάδης, οὐκ εἰσέρχομαι φωράσων καὶ κλέψων, ἵνα τοῖς βουλησομένοις με κατασχεῖν δυσκράτητος ὦ.

book 499a, col. 2 ἢ ἀλλ’ οὐχὶ φωράσων καὶ κατασκοπήσων δημοσίων θησαυρῶν εἰσέρχομαι χρήματα, ἵνα γυμνὸς ὢν μηδὲν ἀποκρύψαιμι περὶ τοὺς κόλπους καὶ τὰ ἱμάτια.

book 499a (500) κατάθου, φησὶν ὁ Σωκράτης, σοῦ τὰ ἱμάτια. τί ληρεῖς ἤγουν χέεις λόγους καὶ πολυλογεῖς; λῆροι γὰρ οἱ ῥέοντες κρουνοὶ λέγονται.

book 499b ἐπεὶ οἱ κλέπτοντες γυμνοὶ ἔκλεπτον, ἵνα μὴ ἀφαιρεθῶσι τῶν ἱματίων.

book 499c φωράσων] κλέψων.

book 500 κατάθου] ῥῖψον.

book 501 ὦ] καὶ ὑπάρχω.

book 502a ἐμφερὴς: ἐρωτᾷ λοιπὸν ὁ Στρεψιάδης· εἰ προθύμως μανθάνω, τίνι ὅμοιος γενήσομαι τῶν σῶν μαθητῶν; εἰπόντος τοῦ Σωκράτους· οὐδὲν διαφέρων ἔσῃ τοῦ Χαιρεφῶντος, δέον τὸν Στρεψιάδην σκιρτᾶν τε καὶ χαίρειν, ὅτι πρὸς σοφίαν ὁμοιωθήσεται τοιούτῳ ἀνδρί, οὗτος τὸ ὁμοιωθῆναι Χαιρεφῶντι κατὰ τὴν μορφὴν δῆθεν ὑπολαβὼν σχετλιάζει καὶ ὀδύρεται λέγων· οἴμοι ὁ κακοδαίμων καὶ τρισάθλιος, ἡμιθνὴς καὶ ἡμίνεκρος γενήσομαι. ἦν γὰρ οὗτος ὁ Χαιρεφῶν τὴν ἰδέαν μέλας, ἰσχνὸς καὶ ὠχρός, ὅθεν καὶ νυκτερὶς ἐκαλεῖτο καὶ πύξινος.

book 502b τῷ] τίνι.

book 502c ἐμφερὴς] ὅμοιος.

book 503 διοίσεις] διαφορὰν ἕξεις.

book 505a οὔ μὴ λαλήσῃς: οὔ μὴ λάλει καὶ πολυλόγει, καὶ φλυάρει, ἀλλ’ ἀκολούθει μοι δευρὶ καὶ ἐνταῦθα, θᾶττον καὶ ταχέως, ἀνύσας καὶ σπουδάσας.

book 505b ἀλλ’ ἀκολουθήσεις] ἀλλὰ ἀκολούθησον.

book 506a ἐς τὼ χεῖρε νῦν: τὸ ζοφερὸν τῆς οἰκίας τῆς τοῦ φροντιστηρίου ὁ Στρεψιάδης ἰδὼν πτοίᾳ κατέχεται καὶ δῆθεν ζητεῖ μελιτοῦτταν λαβεῖν εἰς τὰς χεῖρας ὡς οἱ καταβαίνοντες εἰς τὸ ἐν Λεβαδείᾳ χάσμα τοῦ Τροφωνίου. ἀλλὰ καὶ τὴν Τροφωνίου λεκτέον νῦν ἱστορίαν σοι. ἱστορία: Ἐπικάστης καὶ Ἀπόλλωνος, κατ’ ἄλλους Διὸς καὶ Ἰοκάστης ἢ Ἐργίνου καὶ Ἰοκάστης, γίνεται παῖς Τροφώνιος. ὕστερον δὲ γήμας αὐτὴν Ἀγαμήδης ἄρχων Στυμφάλου πόλεως Ἀρκαδίας

γεννᾷ Κερκυόνα. οὗτοι τοὺς πάντας ὑπερελάσαντες τεκτονικαῖς, πλέον δὲ μᾶλλον κλεπτικαῖς εὐτεχνίαις, ναὸν μὲν ἐν Δελφοῖς ἐργάζονται τῷ Ἀπόλλωνι, ἐν Ἤλιδι δὲ Αὐγείᾳ τῷ βασιλεῖ τῶν Ἠλείων ταμεῖον χρυσοῦ κατεσκεύασαν ἐκ μονολίθων τῶν λίθων τὰς τῶν τοίχων ἔχον οἰκοδομάς. μίαν δὲ ἁρμογὴν λίθου παρεικότες, ὡς ὑπὸ δύο ἀνδρῶν τὸν λίθον ἐκεῖνον ῥᾳδίως εἰσάγεσθαι καὶ ἐξάγεσθαι, νυκτὸς εἰσιόντες ὁ Ἀγαμήδης, ὁ Κερκυὼν καὶ ὁ Τροφώνιος ἐσύλων οὕτω τοὺς θησαυρούς. Αὐγείας δὲ ταῖς ἀδήλοις κλοπαῖς ἀπορούμενος φεύγοντος Δαιδάλου τὸν Μίνωα κἀκεῖσε ἀφικομένου περὶ τούτου

book 506a δεῖται τούτου Αὐγείας. θηρατικὰς δὲ παγῖδας θέντος Δαιδάλου κρατεῖται Ἀγαμήδης ὁ πατρωὸς Τροφωνίου. Τροφώνιος δὲ τὴν κεφαλὴν τούτου τεμών, μή πως γνωσθεῖεν, ἀποδιδράσκει σὺν Κερκυόνι. καὶ ὁ μὲν Κερκυὼν εἰς Ὀρχομενὸν φεύγει, ἐκεῖθεν δὲ εἰς Ἀθήνας, ὁ δὲ Τροφώνιος Δαιδάλου κελεύσει ἐξιχνευόμενος ἐκ τῶν ῥανίδων τοῦ τῆς κεφαλῆς αἵματος περὶ Λεβάδειαν τῆς Βοιωτίας εἰς ὄρυγμα γῆς καταδύεται κἀκεῖ τελευτᾷ. λιμοῦ δὲ Βοιωτεῖς Βοιωτοὺς κατασχόντος χρησμὸς ἐδόθη παῦσιν λιμοῦ γεγονέναι, εἰ ὡς ἥρωα τοῦ λοιποῦ τιμῶσι Τροφώνιον. ἀπορούμενοι δέ, ποῦ ἂν εἴη τὸ μνῆμα αὐτοῦ, ἐντυχόντες μελισσῶν σμήνει ἀνιόντι ἀπὸ τοῦ χάσματος ἔγνωσαν τοῦτον εἶναι τὸν τόπον τοῦ μνήματος. καὶ πρῶτος πάντων Ἁρμάτιος ἐς Τροφωνίου κατέδυ. ἔκτοτε

book 506a δὲ οἱ ἐς Τροφωνίου μαντεύσασθαι κατερχόμενοι ἐκ μελισσείου κηρία καὶ πλακοῦντας κατεῖχον διὰ τὰς ἃς ἔφην μελίσσας, ἐξ ὧν καὶ ἐγνωρίσθη τὸ μνῆμα τοῦ ἥρωος. οἱ ἐκεῖσε δὲ κατερχόμενοι ἀγέλαστοι τοῦ λοιποῦ διετέλουν, ὅθεν ἐπὶ σκυθρωπαζόντων καὶ κατηφιώντων παροιμία τις φέρεται λέγουσα· “ἐς Τροφωνίου μεμάντευσαι”.

book 506a, col. 2 τούτῳ τῷ Τροφωνίῳ τότε θανόντι Ἄλκανδρος κλῆσιν υἱὸς κατελείφθη.

book 506b ἀνύσας] σπεύσας.

book 506c τι] λίαν.

book 507 μελιτοῦτταν] μάζαν τῷ μέλιτι δεδευμένην.

book 509a χώρει: δειλιῶντος τοῦ Στρεψιάδου διὰ τὸ τοῦ φροντιστηρίου ζοφῶδες καὶ ὑποκύπτοντος· χώρει, φησὶν ὁ Σωκράτης, τί κυπτάζεις; τὸ δὲ “ἔχων” ἀττικῷ τρόπῳ περιττῶς κεῖται.

book 509b ⟦ἐρινάζειν ἐστὶ τὸ ὀλύνθους κρεμᾶν ταῖς συκαῖς.⟧

book 509c ἔχων] περισσόν.

book 509d ἔχων] διαλογιζόμενος.

book 510 ἀλλ’ ἴθι: παράβασις χοροῦ. ἀλλ’ ἴθι χαίρων: ὁ “ἀλλά” σύνδεσμος περισσῶς κεῖται· ἴθι χαίρων. ἕνεκα δὲ τῆς ἀνδρείας καὶ τῆς τόλμης ταύτης εὐτυχία σοι γένοιτο, ὅτι βαθεῖ γήρει χρωματίζεις, καὶ χρώζεις καὶ μορφάζεις, σαυτὸν εἰς νεωτέρων φύσιν καὶ τὴν φιλοσοφίαν ἐπασκεῖς.

book 510, col. 2 περὶ δὲ τῆς παραβάσεως εἶπον ἐν τῇ καταρχῇ τῆς ἐξηγήσεως τὰ παρὰ τῶν παλαιῶν εἰρημένα καὶ τἀμά.

book 512 γένοιτο] εἴθε.

book 513a τἀνθρώπῳ] σοὶ τῷ.

book 513b προήκων] προβιβασθείς.

book 514 προήκων ... ἡλικίας] ἤγουν γηράσας.

book 516a μεταμείβει.

book 516b χρωτίζεται] μιγνύει καὶ μορφάζει.

book 517 ἐπασκεῖ] μανθάνει.

book 518a

ὦ θεώμενοι κατερῶ πρὸς ὑμᾶς: ἐν τοῖς χοροῖς πᾶσι, μᾶλλον δὲ τοῖς ἐν παραβάσεσιν ἔλεγον οἱ κωμικοὶ ποιηταί, ἃ ἔχρηζον γενέσθαι αὐτοῖς, ὡς οἰκείοις προσώποις τοῖς τῶν χορῶν κεχρημένοι, ὅπερ καὶ νῦν οὗτος ποιεῖ, καί φησιν· —ἀλλὰ πρῶτον τὸ ἔθος τῶν Ἀθηναίων, μᾶλλον δὲ τὸν νόμον αὐτῶν μοι ῥητέον καὶ τὰ προσυμβεβηκότα τῷ ποιητῇ, καὶ ταῦτα ῥᾳδίως εὐεπίγνωστα γένοιτο. νόμος ἦν Ἀθηναίοις μὴ τεσσαρακονταετῆ τινα γεγονότα μήτε δικηγορεῖν μήτε δημηγορεῖν, ἀλλὰ μηδὲ δράματα ὑπαναγινώσκειν ἐς θέατρον. τούτῳ τῷ νόμῳ καὶ ὁ κωμικὸς οὗτος εἰργόμενος πρότερον διὰ τὸ μὴ τεσσαρακονταετὴς τεσσαρακοντούτης ἔτι ὑπάρχειν τὰ ἑαυτοῦ τῶν κωμῳδιῶν δράματα διὰ Φιλωνίδου καὶ Καλλιστράτου τῶν ὕστερον οἰκείων ὑποκριτῶν ἀνεγίνωσκεν εἰς τὸ θέατρον. καὶ δὴ σὺν δράμασιν

book 518a ἑτέρων κωμῳδιῶν καὶ τοὺς Δαιταλεῖς δρᾶμα ἐδίδαξε δι’ αὐτῶν, ἐν ᾧ δράματι δύο εἰσήγαγε μειράκια, σῶφρον καὶ αἰσχρὸν λέγοντά τινα. καὶ πολλοῖς τῶν θεατῶν τοῦτο τὸ δρᾶμα ἐπηνέθη ἕνεκα τοῦ νοήματος τῶν δύο τούτων μειρακίων. οὐ μέντοι καὶ νενίκηκεν ἐν τούτῳ ὁ ποιητής, ἀλλ’ ἡττήθη. ἐπιβὰς δὲ τοῦ τεσσαρακονταετοῦς ἔτους καὶ τοῦτο τὸ δρᾶμα τῶν Νεφελῶν δι’ ἑαυτοῦ διδάσκων ἐν τῷ θεάτρῳ, ἃ παρὰ τῶν θεατῶν αἰτεῖ αὐτῷ γεγονέναι, ἤγουν τὸ νικῆσαι, φησὶ πρὸς αὐτοὺς διὰ τοῦ χοροῦ δῆθεν τῶν Νεφελῶν αὐταῖς ὡς οἰκείῳ χρώμενος στόματι καὶ λέγων· ὦ θεαταί, πρὸς ὑμᾶς ἐλευθέρως εἴπω τἀληθῆ ναὶ μὰ τὸν Διόνυσον, δι’ ὃν ἐκτρέφονται καὶ γίνονται κωμῳδίαι καὶ τραγῳδίαι. εἶτα ὑποστροφῇ καὶ μεσεμβολήματι χρᾶται, ἐν ᾧ ζητεῖ, ὃ θέλει, τὸ γενέσθαι νικητὴς ἐν τῷ τῶν Νεφελῶν τῷδε τούτῳ δράματι καὶ λέγει· οὕτω νικήσαιμ’ ἐγὼ καὶ νομιζοίμην σοφός, ὡς ὑπάρχω νομίζων ὑμᾶς δεξιούς, εὐφυεῖς καὶ σοφούς. καὶ ὡς ἡγούμενος καὶ νομίζων καὶ ταύτην τὴν τῶν Νεφελῶν κωμῳδίαν δεξιώτατα

book 518a ἔχειν καὶ δεξιωτάτως, ἀπὸ τῶν ἐμῶν κωμῳδιῶν, ἠξίωσα πρώτους ὑμᾶς ἀναγεῦσαι καὶ δοῦναι φαγεῖν, ἤτοι ἀναγνῶναι καὶ διδάξαι, ἐν ᾗ κωμῳδίᾳ πολλὴν (524) ὑπέστην δυσχέρειαν, δηλονότι καὶ ἐν ταῖς πρίν. εἶτ’ ἀνεχώρουν καὶ ὑπέστρεφον οἴκαδε κριταῖς φορτικοῖς καὶ ἀσκόποις ἡττηθεὶς οὐκ ἄξιος ὢν οὐδὲ τότε ἡττηθῆναι. ταῦτα ὑμῖν τοῖς σοφοῖς αἰτιῶμαι, ὧν ἕνεκα ἔγραφον τὰ τοιαῦτα. ἀλλὰ καίπερ ἡττηθεὶς τότε τοῖς Δαιταλεῦσιν ὅμως ἑκουσίως οὐ καταφρονητὴς γενοίμην τῶν σοφῶν ὑμῶν ἀκροατῶν, παρ’ ὧν ἐπηνέθη τῆς τότε κωμῳδίας τὸ νόημα, τὸ σῶφρον μειράκιον καὶ αἰσχρόν, ὅτε παρθένος ἤμην ἐγώ, ἤτοι ὅτε εἰργόμην ἐκ νόμου ἐν τῷ θεάτρῳ κωμῳδεῖν, ἐξεθέμην δὲ τὴν τότε κωμῳδίαν ὥσπερ βρέφος, ὡς νεᾶνις δὲ ἑτέρα Φιλωνίδης καὶ Καλλίστρα-

book 518a τος ἀνέλαβον, ὑμεῖς δὲ τοῖς ῥηθεῖσιν ἐπαίνοις γενναίως ἐθρέψατε καὶ ἐπαιδεύσατε. ἐξ ἐκείνου τοῦ καιροῦ ἀραρότως, οὐ δισταγμῷ, ἐπίσταμαι ὑμᾶς δεξιοὺς καὶ μεγαλογνώμονας.

book 518b ἐν τοῖς χοροῖς, μᾶλλον δὲ ταῖς παραβάσεσιν ἐξέφαινον οἱ ποιηταί, ἃ ἠβούλοντο, διὰ στόματος τοῦ χοροῦ.

book 518c προοίμιον.

book 518d παράβασις [τὸ] σχῆμα.

book 518e 518 sqq.] παράβασις. ἐξ εὐνοίας.

book 518f κατερῶ] λίαν ἐρωτήσω.

book 518g ἐλευθέρως] ἀληθῶς.

book 519 διότι ἐτελοῦντο τὰ ποιήματα αὐτοῦ ἐν ταῖς ἑορταῖς τοῦ Διονύσου.

book 520 νομιζοίμην] νομισθῶ.

book 521a ἡγούμενος] νομίζων.

book 521b θεατὰς] ἀκροατάς.

book 522a ταύτην] τὴν κωμῳδίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 522b σοφώτατ’] σοφῶς.

book 522c τῶν] ἀπό.

book 523a ἠξίως’] ἄξιον ἔκρινα.

book 523b ἀναγεῦς’] ἀναδιδάξαι, ἀναμνῆσαι.

book 524a ἔργον] κόπον.

book 524b ἔργον] ἤγουν δυσπραγίαν.

book 524c εἶτ’] τότε.

book 524d ἀνεχώρουν] αἰνίττεται ὅτε ἐποίησε τὸ δρᾶμα τῶν Δαιταλέων.

book 524e ἀνδρῶν φορτικῶν] κριτῶν φθονερῶν.

book 525a ἄξιος ὤν] ἡττηθῆναι.

book 525b ταῦτ’] διά.

book 526 οὕνεκ’] χάριν.

book 527a ὧς] οὕτως.

book 527b ὑμῶν ... προδώσω] καὶ κατ’ αὐτὸν τὸν τρόπον φαυλίσω.

book 528a οἷς] ἤγουν σοφοῖς.

book 528b καὶ λέγειν] καὶ τὸ ἐπαινεῖν.

book 529a ἐν τῷ δράματι τῶν Δαιταλέων παρήγαγε μειράκια δύο σῶφρόν τε καὶ αἰσχρόν.

book 529a, col 2 χ’ ὡ (sic) καταπύγων] ὁ μάχλος.

book 529b καταπύγων] πόρνος, αἰσχρός.

book 529b, col 2 ἠκουσάτην] ηὐδοκίμησαν.

book 529c ἄριστ’] ἀρίστως.

book 529d ἠκουσάτην] ἐπῃνέθησαν.

book 530, col 2 τυχεῖν] τεκεῖν.

book 530a παρθένος] νέος.

book 530b 530] νόμος ἦν μὴ εἰσελθεῖν τινα καὶ εἰπεῖν μήπω πληρώσαντα μʹ ἔτη.

book 531a ἐξέθηκα] ἐξέπεμψα.

book 531b παῖς δ’ ἑτέρα] ἄλλος ἄνθρωπος ἤγουν ὁ Φιλωνίδης καὶ ὁ Καλλίστρατος.

book 531c ἀνείλετο] ἐκ μεταφορᾶς τῶν ἐκριπτομένων βρεφῶν.

book 532 γενναίως] τοῖς ἐπαίνοις.

book 532, col 2 ἐξεθρέψατε] τὴν ποίησιν· ἀλληγορικῶς.

book 533a πιστὰ] φίλα.

book 533b ὅρκια] ἀσφάλεια ἀγάπης καὶ τὰ ἀσφαλίσματα.

book 534a νῦν οὖν Ἠλέκτρα: Σοφοκλῆς ἐν Ἠλέκτρᾳ δράματι Ἰσμήνην παράγει χοὰς ἐνεγκοῦσαν Ἀγαμέμνονος τάφῳ κείμενον πλόκαμον ἐκεῖσε γνωρίσαι Ὀρέστου. Αἰσχύλος δ’ ἐν δράματι Χοηφόροις Ἠλέκτραν φησὶ γνωρίσαι Ὀρέστου τὸν πλόκαμον. καὶ Ἀριστοφάνης δὲ νῦν λέγει πρὸς τοὺς ἐπαινέσαντας θεατὰς τὸ δρᾶμα τῶν Δαιταλέων· οἱ Δαιταλεῖς καὶ αἱ Νεφέλαι τὰ δράματα ἀμφότερα τέκνα ἐμά εἰσιν, ἀλλ’ οἱ μὲν Δαιταλεῖς ἐοίκασι τῷ Ὀρέστῃ τῷ ψευδῶς φημισθέντι θανεῖν, ἡ δὲ τῶν Νεφελῶν αὕτη κωμῳδία Ἠλέκτρα. νῦν οὖν ἦλθε καὶ αὐτὴ ἐν τῷ θεάτρῳ κατ’ ἐκείνην τὴν Ἀγαμέμνονος Ἠλέκτραν. καὶ ὡς ἐκείνη ἐν τῷ τάφῳ Ἀγαμέμνονος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀρέστου τοῦ ἀδελφοῦ ἐγνώρισε τὸν πλόκαμον, οὕτω καὶ ἡ ἐμὴ Ἠλέκτρα, αἱ Νεφέλαι, ἦλθεν ἐν τῷ θεάτρῳ ζητοῦσα ἐφευρεῖν θεατὰς σοφούς, οἵτινες πλόκαμος καὶ κόσμος ἦσαν καὶ ἐπαινέται τοῦ τῶν Δαιταλέων δράματος, ὃ δρᾶμα Δαιταλέων Ὀρέστης ἦν αὐτῆς ἀδελφός. γνώσεται δὲ ῥᾳδίως, εἰ ἴδοι τὸν βόστρυχον καὶ τοὺς ἐπαινέτας τοῦ ἀδελφοῦ.

book 534b ἐκείνην] τὴν Ἠλέκτραν.

book 535 θεαταῖς] ἀκροαταῖς.

book 536 τὸν βόστρυχον] ἤγουν τοὺς ἐπαινέτας· τῆς κεφαλῆς γὰρ ἡ εὐπρέπεια οἱ βόστρυχοι.

book 537a ὡς δὲ σώφρων: ὅτι δὲ σώφρων ἐστὶ φύσει ἡ κωμῳδία τῶν ἐμῶν Νεφελῶν, Ἠλέκτρα, καὶ οὐ κατὰ τὰς τῶν ἑτέρων φλύαρος, σκέψασθε καὶ σκοπήσατε. πρῶτα μὲν γὰρ οὐκ εἰσῆλθε δέρμα ἐρυθρὸν ῥαψαμένη κεχαλασμένον καὶ μακρόν, ἐξ ἀκροῦ καὶ ἐν τῷ ἄκρῳ παχύ, εἰς τύπον παιδοσπόρου μορίου, ὅπως γελῶσι τὰ τοῦτο θεώμενα παιδάρια. τούτοις δὲ Ἕρμιππον τὸν κωμικὸν διασύρει καὶ Σιμέρμωνα τὸν ὑποκριτήν.

book 537b ὡς] πῶς.

book 537c ἐστὶ] ἡ κωμῳδία.

book 538a διασύρει τὸν Ἕρμιππον καὶ τὸν Σιμέρμωνα.

book 538b σκύτινον] αἰδοῖον.

book 538c καθειμένον] μακρόν.

book 540a οὐδ’ ἔσκωψε τοὺς φαλακρούς: νῦν Εὔπολιν λέγει τὸν κωμικόν. φησὶ γὰρ ὁ Εὔπολις δράματι Βάπταις· “καὶ συνεποίησα τοὺς Ἱππέας κἀδωρησάμην τῷ φαλακρῷ”.

book 540b οὐδὲ κόρδαχ’ εἵλκυσεν: τρία εἴδη ὀρχήσεων, ἐμμέλεια τραγική, σίκιννις σατυρική, ἡ κόρδαξ δὲ κωμικὴ αἰσχρῶς περιδινοῦσα τὴν ὀσφῦν.

book 540c κόρδαχ’] ἤγουν ἀπρεπῆ ὄρχησιν.

book 541a οὐδὲ πρεσβύτης: Σιμέρμων ὁ ὑποκριτὴς ἕνεκα τοῦ γελᾶν τοὺς θεωμένους τοὺς ἐγγὺς ἑστῶτας ἔτυπτε τῇ βακτηρίᾳ.

book 541b πρεσβύτης] ἤγουν ὁ Σιμέρμων.

book 541c τἄπη] τῆς κωμῳδίας.

book 542a ἀφανίζων πονηρὰ σκώμματα: ἤτοι ἐν τῷ πλήττειν τοὺς παρεστῶτας ἀφανίζων καὶ συγκρύπτων τὰ φαῦλα καὶ ἀξιόσκωπτα πλημμελήματα τῶν ποιητῶν, ὧν ὑπῆρχεν ὑποκριτής.

book 542b ἀφανίζων] περικαλύπτων.

book 543a οὐδ’ εἰσῆξε δᾶδας ἔχουσα: τὸ “ἔχουσα” περιττῶς. οὐδ’ ἰοὺ ἰοὺ βοᾷ, ἀλλ’ αὑτῇ καὶ τοῖς ἔπεσιν: ἀλλὰ θαρροῦσα ἑαυτῇ ἤτοι τοῖς εὐμεθόδοις νοήμασι καὶ τῇ κωμικῇ εὐτεχνίᾳ καὶ τοῖς μέτροις ἐλήλυθεν. οἱ πρὸ ἡμῶν δέ φασιν· ὅτι “πάντα, ὅσα λέγει, εἰς ἑαυτὸν τείνει. τοὺς μὲν γὰρ φάλητας εἰσήγαγεν ἐν τῇ Λυσιστράτῃ, τὸν δὲ κόρδακα ἐν τοῖς Σφηξί, τοὺς δὲ φαλακροὺς ἐν Εἰρήνῃ, τὸν δὲ πρεσβύτην ἐν Ὄρνισι, τὰς δὲ δᾶδας καὶ τὸ “ἰοὺ ἰού” ἐν Νεφέλαις τῷ πρώτῳ”. οὕτω φασὶν οἱ πρὸ ἡμῶν, καὶ τάχα καλῶς. Πλὴν ἰστέον ὑμῖν, ὅτι πάντα ταῦτα καὶ οὗτος εἰσῆγεν, ἀλλὰ τὰ πλείω λόγοις μόνοις, τινὰ δὲ καὶ σχήμασι μέχρι τοῦ μετρίου προήκουσιν, οὐ μὴν δὲ δερμάτινα μόρια ἔχοντα, οὐδὲ δινοῦντας αἰσχρῶς τὴν ὀσφῦν, οὐδὲ δᾳσὶν ἡμμέναις τινὰ πυρακτοῦντας, οὐδὲ ἐς πολὺ θρηνῳδίας χωροῦντας ἐν τῷ λέγειν τὸ “ἰοὺ ἰού”, κἂν καὶ οὗτος πολλὰ πολλαχοῦ καταψεύδηται.

book 543b εἰσῆξε] ἡ κωμῳδία μου.

book 544a

κἀγὼ μὲν: καὶ ἐγὼ μέν, φησί, τοιοῦτος ὢν ποιητὴς ἤτοι τεχνικώτατα καὶ λελογισμένα καὶ κόσμια γράφων οὐ κομῶ καὶ ἐπαίρομαι. οὐκ εἶπε δέ· οὐ κομπάζω, οὐδὲ ἁβρύνομαι, ἀλλά· οὐ κομῶ, ἵνα καὶ γέλωτα τοῖς ἀκροωμένοις κινήσῃ· ἦν γὰρ φαλακρός.

book 544b αὐτῇ] ἐν ἑαυτῇ.

book 544c καὶ … πιστεύους’] καὶ τοῖς εὐμεθόδοις θαρροῦσα νοήμασιν.

book 545a ἐπαίρομαι· ἕνεκα τοῦ γελοίου, φαλακρὸς γὰρ ἦν.

book 545b κομῶ] ἀλαζονεύομαι.

book 546 οὐδ’ ὑμᾶς ζητῶ ’ξαπατᾶν: οὐδὲ ζητῶ καὶ σπεύδω ὑμᾶς ἐξαπατᾶν δὶς καὶ τρὶς τὰς αὐτὰς γράφων ἐννοίας, ἀεὶ δὲ σοφίζομαι καὶ σοφὸν πρᾶγμα ποιῶ καινὰς ἀεὶ καὶ ξενωτέρας εἰσφέρων ἐννοίας καὶ πάσας δεξιάς.

book 547a εἰσφέρων] εἰσάγων.

book 547b σοφίζομαι] ἐκσοφίζομαι ἢ σοφὸς φαίνομαι.

book 548 δεξιάς] ἐπιτηδείους.

book 549a ὃς μέγιστον ὄντα Κλέωνα: ὁ Κλέων καὶ στρατηγὸς ἄριστος ἦν καὶ γενναιότατος στρατιώτης καὶ ἱππεὺς περιδέξιος καὶ τὸν θρυλλούμενον στρατηγὸν Βρασίδαν τὸν Λάκωνα ἱππομαχίᾳ ἀντεξελάσας ἀπέκτεινεν. ἦν δὲ καὶ ῥήτωρ ὁ ἀνὴρ πυρὸς ἀποπνέων. τὸ θυμελικὸν δὲ κάθαρμα τοῦτο διεχθρεῦσαν τοιούτῳ ἀνδρὶ τοὺς Ἱππέας τὸ δρᾶμα συνέγραψε κατ’ αὐτοῦ, οὗ καὶ νῦν μνημονεύει. μέγιστον ὄντα Κλέων’ ἔπαις’ ἐς τὴν γαστέρα: ὃς μέγαν στρατηγὸν ὄντα τὸν Κλέωνα ἐλάκτισα κατὰ τῆς γαστρός, τουτέστι γράψας κατ’ αὐτοῦ τὴν τῶν Ἱππέων κωμῳδίαν ἐποίησα πέντε ταλάντοις αὐτὸν ζημιωθῆναι, ἀνθ’ ὧν τὰ δημόσια κατήσθιε πράγματα, καὶ καταβαλὼν αὐτὸν οὐκέτι πάλιν ἐμπεπήδηκα αὐτῷ καὶ λελάκτικα, τουτέστι κωμῳδίαν πάλιν ἔγραψα ἑτέραν. οὗτοι δὲ οἱ λοιποὶ κωμικοὶ ἅπαξ δραξάμενοι τῆς κατὰ Ὑπερβόλου τοῦ στρατηγοῦ ἀφορμῆς τὸν δείλαιον κολετρῶσιν ἀεὶ καὶ τὴν τούτου μητέρα. τὸ “κολετρῶσιν” οἱ πρὸ ἡμῶν

book 549a λέγουσι “κατὰ τοῦ κώλου τύπτουσιν”,

book 549a, col 2 κολετρῶσιν: οἱ πρὸ ἡμῶν τὸ “κολετρῶσιν” ἀντὶ τοῦ “κατὰ τοῦ κώλου τύπτουσιν” λέγουσι,

book 549a καὶ ἕτερα ὅσα κενῶς μακρηγοροῦσιν· ὤφειλε γὰρ οὕτω τὸ “κω” γράφειν μέγα. ἡμεῖς δέ φαμεν· κολετρῶσι καὶ κολοβοποιοῦσι καὶ εὐτελίζουσι καὶ τρῶσι καὶ τιτρώσκουσι καὶ ὀδυνῶσι καὶ θλίβουσι ταῖς κωμῳδίαις. κῶλον γάρ, τὸ ὀστοῦν, μέγα· κόλον δέ, τὸ κολοβόν, μικρόν, ὡς τὸ πῆλ’ αὔτως ἐν χειρὶ κόλον δόρυ.

book 549b ἤγουν ἔγραψα κωμῳδίαν κατ’ ἐκείνου τὴν τῶν Ἱππέων.

book 549c Κλέων’] τόν.

book 549d εἰς τὴν γαστέρα] ὡς ἅρπαγα καὶ λαίμαργον.

book 550 ἐσαῦθις] πάλιν, δισσῶς.

book 551a οὗτοι] ἕτεροι κωμικοί.

book 551b ἅπαξ] ποτέ.

book 551c Ὑπέρβολος] στρατηγὸς Ἀθηναίων.

book 552a τοῦ] χάριν.

book 552b κολετρῶς’] κολοβοποιοῦσι, ὑβρίζουσι, τιτρώσκουσι, εὐτελίζουσι.

book 552c τὴν μητέρα] ὡς ἀρτοπώλισσαν.

book 553a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εὔπολις μὲν τὸν Μαρικᾶν: ὁ Εὔπολις μὲν γάρ, φησί, τὸν Μαρικᾶν δρᾶμα παρείλκυσεν, παρέσυρεν, εἵλκυσεν, ἔγραψεν καθ' Ὑπερβόλου ἐκστρέψας τοὺς ἡμετέρους Ἱππέας, ἤτοι τὸ νόημα τοῦ ἐμοῦ δράματος τῶν Ἱππέων, τὸ περὶ τῶν ἐγχέλεων, τό, ὅτι οἱ μέλλοντες ἐγχέλεις θηρᾶσαι, εἰ μὴ ταράξουσι τὸν ποταμόν, λαβεῖν αὐτὰς οὐκ ἰσχύουσιν.

book 553b Εὔπολις ... Μαρικᾶν] ποιητὴς κωμικὸς καὶ τὸ ποίημα.

book 553c Μαρικᾶν] ὄνομα δράματος.

book 553d παρείλκυσεν] παρήγαγεν.

book 554a ἐκστρέψας] μεταλλάξας.

book 554a, col. 2 ἐκστρέψας] συλήσας, μεταβαλών.

book 554b κακὸς] ὤν.

book 554c κακῶς] δράσας.

book 555a προσθεὶς αὐτῷ: ὁ Εὔπολις, φησί, καθ' Ὑπερβόλου τὸν Μαρικᾶν ἔγραψε μεταστρέψας μετατρέψας τὸ νόημα τῶν ἐμῶν ἐγχέλεων τῶν ἐν τοῖς Ἱππεῦσι καὶ προσθεὶς αὐτῷ, τῷ Μαρικᾷ δράματι, γραῦν μεθύσην, τὴν μητέρα δῆθεν Ὑπερβόλου, ἣν ἔλεγον ἀρτοπώλιδα εἶναι.

book 555b αὐτῷ] ἐν.

book 555c τοῦ κόρδακος] τοῦ γελοίου.

book 556a ἣν Φρύνιχος: ἣν γραῦν ὁ κωμικὸς Φρύνιχος προεποίησεν εἰς τύπον Ἀνδρομέδας παρὰ τοῦ κήτους ἐσθιομένην. γραῦν δὲ Ἀνδρομέδαν ἐποίησε Φρύνιχος ἕνεκα τοῦ κωμικοῦ γέλωτος, ὡς καὶ οὗτός φησι· τοῦ κόρδακος οὕνεκα καὶ τῆς γελοίας ὀρχήσεως. τὸ δὲ ὅλον τοιοῦτον· ὁ Εὔπολις ἐν τῷ Μαρικᾷ δράματι μεταστρέψας μετατρέψας τὸ ἐμὸν νόημα τῶν Ἱππέων ἐχρήσατο τούτῳ, προσέθετο δὲ καὶ γραῦν μεθύσην σφετερισάμενος ταύτην ἐκ δράματος Φρυνίχου. (557) εἶτα, φησί, καὶ ὁ Ἕρμιππος καὶ ἕτεροι κωμικοὶ ἐρείδουσι καὶ ἤρεισαν καὶ ἐπεστήριξαν λόγους καὶ κωμῳδίας κατὰ Ὑπερβόλου τὰς εἰκοῦς καὶ εἰκόνας καὶ τὰ νοήματα μιμούμενοι τῶν ἐμῶν ἐγχέλεων. ἃ δὲ λέγουσιν οἱ σχολιογράφοι περί τε τοῦ Μαρικᾶ δράματος καὶ τῶν Νεφελῶν καὶ χρόνου τελευτῆς Κλέωνος, κενολογίαι εἰσίν. ἐν τῷ εἰπεῖν γὰρ Ἀριστοφάνης· "κειμένῳ τῷ Κλέωνι", καὶ "ἐκπεπτωκότι" δηλοῖ "τῆς ἀρχῆς" καὶ "τεθνηκότι", καὶ οὐ μέμνηται, ὥς φασιν οὗτοι, τούτου ὡς ζῶντος, ἀλλ' ὡς τεθνηκότος καὶ λοιπὸν λέλυται ἡ πανήγυρις καὶ ἡ πᾶσα τούτων μακρηγορία. τὸ δὲ "ὡς ξυνοίσει" καὶ συμφέρει,

book 556a "ἢν Κλέωνα 〈...〉 δώρων ἑλόντες καὶ κλοπῆς 〈...〉 φιμώσετε τούτου ξύλῳ τὸν αὐχένα, διδάξομαι" πανηγυρικῆς ἰδέας ἐστίν, ᾗ χρᾶται τοῖς ἐνεστῶσι καὶ μέλλουσιν ἀντὶ χρόνων παρῳχημένων.

book 556b κωμῳδοποιητὴς ὁ Φρύνιχος. εἰσῆγε δὲ γραῦν τινά ποτε ἐν κωμῳδίᾳ.

book 558 ἐρείδουσιν] ἤρεισαν, ἐπεστήριξαν καὶ κωμῳδίαν ἔγραψαν κατὰ τοῦ Ὑπερβόλου.

book 559a ἐμνήσθη γὰρ ἐν τοῖς Ἱππεῦσι τῶν ἐγχέλεων. αἱ ἐγχέλυς γάρ, ὅταν μέλλωσι πιεῖν, ταράσσουσι τὸ ὕδωρ καὶ ἔπειτα πίνουσιν. δηλονότι ἐποίησαν καὶ ἐμὲ ἐκεῖνοι οὕτως· ἐτάραξαν τὰ ἐμὰ ποιήματα κλέπτοντες ἀπ' ἐκείνων τὰς ἐννοίας.

book 559b εἰκοῦς] εἰκόνας.

book 560a ὅστις οὖν τούτοισι γελᾷ: ὃς οὖν τοῖς τούτων ποιήμασιν ὡς δεξιοῖς εὐφραίνεται, τοῖς ἐμοῖς μὴ χαιρέτω· ἢν δ' ἐμοὶ καὶ τοῖς ἐμοῖς εὑρήμασι καὶ νοήμασιν εὐφραίνησθε, εἰς τοὺς μετὰ ταῦτα ἐνιαυτοὺς λογισθείητε φρονοῦντες ἤτοι οὐ διαβληθείητε διαβληθήσεσθε ἐμοὶ κωμῳδούμενοι.

book 560b 560] ὡραῖον.

book 560c τούτοισι] τοῖς ποιηταῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 560d γελᾷ] εὐφραίνεται.

book 561 εὑρήμασιν] ποιήμασιν.

book 562 ὥρας] πανηγύρεις.

book 563a ὑψιμέδοντα μὲν θεῶν: οἱ μὲν χοροῦ μέλος τοῦτό φασιν, οἱ δὲ ἐπίρρημα· ἐμοὶ δὲ περὶ τούτων ἐν τῷ προοιμίῳ ἐρρέθη ὡς οἶμαι οἴομαι σαφῶς, πλατέως, περιληπτικῇ συντομίᾳ καὶ κάλλιστα τὰ Διονυσίῳ καὶ Κράτητι καὶ Εὐκλείδῃ περὶ τούτων ῥηθέντα εἰκαῖα ἐλέγξαντι. ὅστις οὖν τούτοισι γελᾷ, τοῖς ἐμοῖς μὴ χαιρέτω. περὶ δὲ τῶν τῇδε μέτρων πολλάκις ἔφην, ὡς οὐκ ἀνασχοίμην ἐπ' αὐτοῖς πόνων ματαίων ἀνορθῶν ταῦτα, ὡς οὐ λύραν ὄνων ὠτίοις κρουσαίμην. ὁ νοῦς δὲ σύμπας τοῦ παρόντος χωρίου ἐστὶν οὗτος· ὁ χορὸς τῶν Νεφελῶν πρῶτα μὲν ἐν εὐχῆς μέρει εἰς πρὸς βοήθειαν ἐλθεῖν ἑαυτοῦ ἐπικαλεῖται Δία, Ποσειδῶνα,

book 563a Ἀέρα, Ἥλιον. εἶτα στραφεὶς τοῖς θεαταῖς διαλέγεται περὶ ὧν βούλεται. μέλος δὲ χοροῦ λέγουσι τοῦτο οἱ παλαιοὶ ⟦στίχων⟧ κώλων δεκατριῶν, τὰ δὲ ἐπιρρήματα ἀνὰ στίχων εἴκοσι τροχαϊκῶν τετραμέτρων καταληκτικῶν. ἀλλὰ φέρε, καὶ εἴ τι κατὰ λέξιν ἢ νοῦν δυσχερές ἐστιν ἐνταυθοῖ, σαφηνίσωμεν.

book 563b ᾠδὴ καὶ στροφή.

book 563b, col 2 ἐπίρρημα 〈ἢ〉 μέλος χοροῦ.

book 563c μέλος.

book 566a μεγασθενῆ τριαίνης ταμίαν: τὸν μεγαλοδύναμον ταμίαν, φύλακα καὶ ἐξουσιαστὴν τῆς τριαίνης καὶ τῶν τρικυμιῶν, Ποσειδῶνα, τὸν μοχλευτὴν καὶ κινητὴν γῆς καὶ θαλάσσης. οἱ σεισμοὶ γὰρ κατὰ τὴν τῶν πλειόνων σοφῶν δόξαν ἐκ τοῦ ὕδατος γίνονται. καὶ οἱ λέγοντες τοὺς σεισμοὺς ἐκ πνεύματος γίνεσθαι καὶ οἱ ἄλλο τι τοιοῦτο φυσικευόμενοι ἐκ τοῦ ὕδατος ὁμολογοῦσι καὶ ἄκοντες τούτους γίνεσθαι· καὶ ὁ ἀὴρ γὰρ ὕδωρ ἀραιωθέν ἐστιν. κἂν κατασπάσει γῆς μερῶν τῶν ἐν ταῖς κοιλάσιν αὐτῆς, πάλιν ὕδωρ φασίν· ὑγρότητι γὰρ βαρυνθέντα τὰ κοῖλα τῆς γῆς κατασπᾷ. ἐῶ τὰ λοιπά.

book 566b τρίαινά ἐστιν ἀήρ, πνεῦμα ζωτικὸν διὰ πάσης χωρητικὸν οὐσίας.

book 566c 566] τὸν Ποσειδῶνα.

book 566d τριαίνης] ἀλληγορικῶς τῶν τρικυμιῶν.

book 566e ταμίαν] φύλακα.

book 568 μοχλευτήν] κινητήν.

book 569 μεγαλώνυμον ἡμέτερον πατέρα: μεγαλώνυμον τὸν ἀέρα φασὶν ὡς πᾶσι περιθρυλλούμενον ἢ ὅτι καὶ αἱ φωναὶ πλήξει ἀέρος γίνονται.

book 570a Αἰθέρα: καταχρηστικῶς παραχρηστικῶς νῦν τὸν ἀέρα. σεμνότατον: τίμιον. βιοθρέμμονα: ὅτι καὶ τὰ ἐκ γῆς φυόμενα καὶ πᾶν γένος ζῴων ἀναπνεόντων τρέφεταί τε καὶ ζῇ εἰσπνέον ἀέρα. πατὴρ δὲ νεφελῶν ὁ ἀήρ, ὅτι παχυνθεὶς εἰς νέφος μετατρέπεται.

book 570b Αἰθέρα] καταχρηστικῶς τὸν ἀέρα.

book 571a τόν θ' ἱππονώμαν: καλῶς φησιν ὁ χορὸς νεφελῶν τὸν Δία, Ποσειδῶνα, Ἀέρα καὶ τὸν ἱππονώμαν καὶ διφρευτὴν ἵππων, Ἥλιον, ὃς ὑπερλάμπροις ἀκτῖσι κατέχει τὸ πέδον τῆς γῆς, ἤγουν τὴν γῆν περιφραστικῶς, μέγας ὑπάρχων δαίμων καὶ θεός, ἔν τε θεοῖς καὶ στοιχείοις, καὶ ἐν ἀνθρώποις καὶ τοῖς ἀνθρωπίνοις πράγμασιν. ἱππονώμαν δὲ τὸν ἥλιον λέγει, ὅτι διὰ τὸ τάχος αὐτὸν μὲν ἵππων ἐμπύρων διφρευτὴν ζωγραφοῦσιν, ἵππων διὰ τὸ τάχος, ἐμπύρων διὰ τὸ ἔμπυρον τῆς αὐτοῦ φύσεως. τὴν δὲ σελήνην ὡς τούτου βραδυτέραν τὴν κίνησιν ἔχουσαν καὶ ὡς συνεργὸν γεωργοῖς διὰ τὴν ὑγρότητα ζωγραφοῦσιν ἐπὶ βοῶν ὀχουμένην.

book 571b βιοθρέμμονα] τὸν τρέφοντα τοὺς καρπούς.

book 572a τόν θ' ἱππονώμαν] ἤγουν τὸν ἥλιον.

book 572b, col. 2 ἱππονώμαν] ἔμπυρον.

book 573 γῆς πέδον] ἀττικὴ περίφρασις. τοιοῦτόν ἐστι καὶ τὸ λέγω λόγον.

book 575a ὦ σοφώτατοι θεαταί: μετὰ τὴν εὐχὴν στραφεὶς ὁ χορὸς πρὸς τοὺς θεατὰς λέγει· ὦ σοφώτατοι θεαταί, δεῦρο καὶ ἐνταῦθα, προσέχετε καὶ προσκολλᾶτε, τὸν ὑμέτερον νοῦν, ἤτοι προσέχετε τοῖς ἡμετέροις λόγοις. ἠδικημέναι γὰρ ὑμῖν καὶ παρ' ὑμῶν, μεμφόμεθα καί φαμεν, ἐναντίον καὶ φανερῶς καὶ κατὰ πρόσωπον ὑμῶν, τὰ δι' ἃ μεμφόμεθα ὑμῖν. οὐ θύετε γὰρ καὶ σφαγιάζετε, ἡμῖν ζῷα, οὐδὲ σπένδετε καὶ ἐπιχέετε, οἶνον, μόναις ἐκ τῶν λοιπῶν θεαινῶν, αἵτινες ἡμεῖς πλεῖστα τῶν ἄλλων πάντων θεῶν ὠφελοῦμεν ὑμῖν καὶ τῇ πόλει καὶ φυλάσσομεν ὑμᾶς. ἢν γὰρ ᾖ καὶ ὑπάρχῃ καὶ γίνηται, τὶς ἔξοδος καὶ δαπάνη (ἢ ἔξοδος καὶ ἐκστρατεία), μηδενὶ ξὺν νῷ, ἤτοι μὴ μετὰ συνέσεως καὶ σκοποῦ, τότ' ἢ βροντῶμεν ἢ ψεκάζομεν.

book 575b ἐπίρρημα.

book 575b, col. 2 στροφὴ 〈ἢ〉 ἐπίρρημα οἵδε.

book 575c θεαταί] ἀκροαταί.

book 575d δεῦρο ... προσέχετε] πρὸς τοῖς εἰρημένοις κέκτησθε τὸν νοῦν.

book 576a ὑμῖν] παρ' ὑμῶν.

book 576b ἐναντίον] φανερῶς.

book 578a δαιμόνων] ἀπὸ τῶν.

book 578b σπένδετε] θυσιάζετε.

book 579 ἔξοδος] δαπάνη ἢ ἐκστρατεία.

book 580 μηδενὶ ξὺν νῷ] μὴ μετὰ συνέσεως καὶ σκοποῦ ἢ ἀβούλως καὶ ἀσυνέτως.

book 581a εἶτα τὸν θεοῖσιν ἐχθρὸν: τὸ "εἶτα" νῦν οὐ "μετὰ ταῦτα", ἀργῶς δὲ ὡς παραπληρωματικὸς κεῖται σύνδεσμος. ὁ νοῦς δὲ τοῦ ἐνταῦθα χωρίου οὗτός ἐστιν· ὁπότε ᾑρεῖσθε καὶ προεκρίνετε καὶ ἐλαμβάνετε, στρατηγὸν τὸν Κλέωνα, τὸν θεοῖς ἐχθρὸν βυρσοδέψην, ἤτοι σκυτέα τὸν δεψοῦντα καὶ μαλάσσοντα καὶ ἐργαζόμενον τὰς βύρσας, τὸν Παφλαγόνα καὶ παφλάζοντα καὶ λαῦρα τῇ γλώττῃ στωμυλλόμενον, οὐκ ἀνεχόμεναι τοῦτο βλέπειν ἡμεῖς τὰς ὀφρῦς συνήγομεν, ἤτοι ἐσκυθρωπάζομεν καὶ συννεφῆ τὸν οὐρανὸν ἐποιοῦμεν, βρονταὶ δὲ καὶ ἀστραπαὶ κατερρήγνυντο καὶ ὁ ἥλιος τοῖς νέφεσι τὰς ἀκτῖνας ἀπέκρυψεν, ἡ σελήνη δ' ἐξέλιπεν, ἤτοι πέπονθεν ὑποσκίασιν. ἀλλ' ὅμως ὑμεῖς τοῦτον εἵλεσθε στρατηγόν. οὗτος μέν ἐστιν ὁ νοῦς. λεκτέον δ' ἡμῖν καὶ λέξεις καὶ ἱστορίας τινάς. ἐχθρῶς διακειμένοις ἀλλήλοις Ἀθηναίοις καὶ Λάκωσιν ὁ Ἀλκισθένους υἱὸς Δημοσθένης καὶ Νικίας οἱ στρατηγοὶ Λακεδαιμονίων χωρία πολιορκοῦντες, Πύλον, Κορυφάσιον καὶ Σφακτηρίαν, οὐδὲν ἤνυον. ἤνυττον. Κλέων δ' ὑπέσχετο

book 581a Ἀθηναίοις, εἰ αἱρεθῇ στρατηγὸς εἰς τοῦτον τὸν πόλεμον, εἴσω τριάκοντα ἡμερῶν δουλαγωγῆσαι τῇ Ἀττικῇ Λάκωνας τοὺς ἐν οἷς ἔφην χωρίοις οἰκοῦντας καὶ πόλεσιν ἐκεῖνα πεπορθηκώς. ὃ καὶ πεποίηκεν ὁ γενναιότατος στρατηγός. οὗτος δὲ δυσμεναίνων τοιούτῳ ἀνδρὶ σχεδιάζει βροντὰς γεγονέναι καὶ ἀστραπὰς καὶ σεληναίαν δὲ ὑποσκίασιν τῇ χειροτονίᾳ τῆς στρατηγίας τοῦ Κλέωνος οἱονεὶ δῆθεν καὶ τῶν στοιχείων ἀγανακτούντων ἐπὶ τῇ τούτου εἰς στρατηγίαν προκρίσει. (587) ὅμως, φησί, τὰ δύσβουλα τῆς πόλεως Ἀθηναίων εἰς ἀποτέλεσμα εὔβουλον τρέπουσιν οἱ θεοί. ἀλλὰ πρότερον τοῦτο φραστέον μοι. ὁ μεμψιμοιρῶν ἄλλοις καὶ

λέγων ἐκείνους μὲν ἀεὶ λέγειν καὶ γράφειν, καθ’ οὗ ἅπαξ συμβῇ τούτοις εἰπεῖν, ὥσπερ ἐποίησαν οὓς εἶπεν εἰς τὸν Ὑπέρβολον, ἐγὼ δὲ εἰς ἅπαξ

book 581a τοῦτο ποιῶ, πῶς τοσαῦτα τοσαυταχοῦ ληρεῖ κατὰ Κλέωνος; πρῶτα τοῦτο ῥητέον μοι, εἶτα ἔπειτα τὴν ἱστορίαν τῆς δυσβουλίας. ἐκείνους ὁ ἀλιτήριος ἴσως λέγει κατά τινων ὅλας κωμῳδίας πολλάκις ἐκτίθεσθαι, οὗτος δὲ ἅπαξ ἐκτίθησι κατά τινος κωμῳδίαν. δευτέραν δὲ ὅλην κατ’ αὐτοῦ κωμῳδίαν οὐκ ἐκτίθεται, ἐκείνου δὲ βραχυλογίαις τισὶ μνημονεύει πολλάκις. νῦν δὲ καὶ περὶ τῆς δυσβουλίας λεκτέον μοι.

book 581b διασύρει τὸν Κλέωνα ἀπὸ τοῦ παφλάζειν καὶ λαῦρα στωμυλευόμενον.

book 581c εἶτα] ἀργὸν ὡς παραπληρωματικὸς σύνδεσμος.

book 581d βυρσοδέψην] δεψῶ τὸ μαλάσσω.

book 582a ᾑρεῖσθε] προεκρίνετε.

book 582b τὰς ... συνήγομεν] ἐστυγνάζομεν.

book 583 ἐρράγη] ἐξεφωνήθη.

book 583, col. 2 βρόντὴ ... ἀστραπῆς] πνεῦμα γὰρ κινεῖ τὰς νεφέλας, ὃ τῇ τριβῇ ἀστραπὴ γίνεται.

book 585a τὴν θρυαλλίδ’] ἤγουν τὸ φῶς, τὴν ἀκτῖνα.

book 585a, col. 2 τὴν θρυαλλίδ’] νῦν τὴν ἀκτῖνα.

book 585b ξυνελκύσας] συνάξας.

book 586a φανεῖν] λάμψειν.

book 586b Κλέων] ὁ.

book 587a φασὶ γὰρ 〈...〉 τῇ πόλει: ἄριστος ῥήτωρ ὢν ὁ μιαρώτατος οὗτος καὶ προτείνας, ὅτι τότε πόλλα σημεῖα γέγονε καὶ ἀπαίσια, καὶ ὥσπερ σκυθρωπάζοντα ἔλεγεν ἀγλώσσῳ τῷ λόγῳ· οὐ χρὴ Κλέωνα στρατηγὸν γεγονέναι—ἔδει δὲ τῇ προτάσει καὶ τὴν ἀπόδοσιν προσφυᾶ γεγονέναι, τὸ ἡττηθῆναι Κλέωνα καὶ τὰς Ἀθήνας αἰσχύνῃ περιβαλεῖν, γέγονε δὲ πᾶν τοὐναντίον—δεδιώς, μή πως τις αὐτῷ ἀπαντήσοι νέος ἢ παλαιὸς λέγων· ὦ ἀλιτήριε, εἰ σημεῖα ταῦτα ἦν τοῦ κακῶς βουλεύσασθαι Ἀθηναίους καὶ ἑλέσθαι στρατηγὸν Κλέωνα, ὤφειλε Κλέων μὲν ἡττηθῆναι κακῶς στρατηγήσας, ἀτιμία δὲ καὶ αἰσχύνη γενέσθαι τῇ πόλει τῇ τοῦτον στρατηγεῖν ἑλομένῃ, τοῦτο γοῦν δαιμονίως τὸ ἀντιπίπτον ὁ ἀλιτήριος λύει ἀφ’ ἱστορίας τοιᾶσδε. ἱστορία: Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίνοντο, τίς αὐτῶν ἄρξει τῆς Ἀττικῆς. ἡττηθεὶς οὖν Ποσειδῶν ἐποίησε βουλεύεσθαι κακῶς Ἀθηναίους, Ἀθηνᾶ δὲ τούτοις χαριζομένη τὰς δυσβουλίας τούτων μετέστρεψε βέλτιστον ἔχειν τὸ ἀποτέλεσμα.

book 587b εἵλεσθε] στρατηγόν.

book 587c φασὶ] μυθεύονται.

book 588a ταῦτα] διὰ τοῦτο.

book 588b τοὺς θεοὺς] εὐχόμεθα.

book 590a ὡς] πῶς.

book 590b ξυνοίσει] καὶ ὠφελήσει.

book 591a ἢν Κλέωνα τὸν λάρον: βορόν, φάγον· ὁ λάρος γὰρ ὁλοκλήρους ἰχθύας καταβροχθίζει. εἰ τοῦτον οὖν ἑλόντες καὶ κατασχόντες, δωροληψιῶν, καὶ φιμὸν καὶ δεσμὸν ξύλινον, ἐπιβάλητε τῷ αὐχένι αὐτοῦ καὶ τῇ χειρί, ἐπὶ τὸ βέλτιον πάλιν ἡ πόλις καταστῇ.

book 591b λάρον] ἅρπαγα.

book 591c δώρων] διά.

book 592 ξύλῳ] κύφωνι.

book 594 ξυνοίσεται] ἀποβήσεται.

book 594, col. 2 συνοίσεται] εἰσαχθῇ.

book 595a ἀμφί μοι αὖτε Φοῖβε: ὁ χορὸς τῇ ἐπικλήσει τῶν θεῶν κατέληξεν εἰς τὸν ἥλιον. εἶτα μεταστραφείς, ἃ εἶπεν, εἶπε τοῖς θεαταῖς. νῦν οὖν πάλιν ἐπανακάμπτει καί φησι πρὸς τὸν ἥλιον τὸν αὐτὸν λεγόμενον καὶ Ἀπόλλωνα, ὡς καὶ τὴν σελήνην Ἄρτεμιν· ὦ Ἥλιε, Δήλιε ἄναξ καὶ θεέ, Φοῖβε φῶς βίου, ὁ ἔχων καὶ κατοικῶν, τὴν ὑψικέρατα καὶ ὑψικέρατον καὶ ὑψηλήν, πέτραν τῆς Κύνθου ἤτοι τὴν Κύνθον αὐτήν—ἡ δὲ Κύνθος ὄρος τῆς Δήλου ἐστίν—, ἀμφί μοι ἀντὶ τοῦ “ἀμφὶ ἐμοί” ἤτοι παρ’ ἐμοί, ἵστασο καὶ βοήθει μοι. ἡ Ἄρτεμίς τε καὶ ἡ σελήνη, ἡ μάκαιρα καὶ μακαρία, ἥτις ἐν Ἐφέσῳ ἔχεις καὶ οἰκεῖς, πάγχρυσον ἤτοι πολύχρυσον, οἶκον καὶ ναόν, ἐν ᾧ ναῷ σε τιμῶσιν αἱ λυδικαὶ κόραι ἤτοι παρθένοι. οὐ Λυδίας ἡ Ἔφεσος ἦν. Κροίσου δὲ πολιορκεῖν αὐτὴν μέλλοντος Ἐφέσιοι σπαρτίον ἐξάψαντες ἀπὸ τοῦ ἱεροῦ τῆς Ἀρτέμιδος μέχρι τῆς πόλεως ἱκανοὺς σταδίους ἀπέχοντος τὴν πόλιν ἀνέθεντο τῇ Ἀρτέμιδι. καὶ οὕτω Κροῖσος μετὰ Λυδῶν ἀπέστη πολιορκίας Ἐφέσου. ἔκτοτε δὲ μετ’ Ἐφεσίων κοινῇ Λυδοὶ

book 595a καὶ Λυδαὶ ὁλοκαυστώμασι, σπονδαῖς, θυηλαῖς καὶ λοιποῖς ἐτίμων τὴν Ἄρτεμιν.

book 595b ἀντιστροφή.

book 595c μέλος.

book 595d ἀμφί μοι] περιΐστασο καὶ βοήθει μοι.

book 595e ἄναξ] ὦ.

book 596a Δήλιε] ὦ.

book 596b Κυνθίαν] ὄρος Δήλου.

book 596c ἔχων] ὁ.

book 597a ὑψικέρατα] ὑψικέρατον.

book 597b πέτραν] τήν.

book 598a ἥ τ’] ἥτις.

book 598b μάκαιρα] ἡ Ἄρτεμις ἤγουν ἡ σελήνη.

book 599 ἐν ᾧ] ἐν τῷ οἴκῳ.

book 600 σέβουσιν] τιμῶσιν.

book 601 ἥ τ’ ἐπιχώριος: οὐδὲν ἐνταῦθα περινενοημένον οὐδὲ βαθύ, τὸ πᾶν δὲ λίαν σαφέστατον. ἥ τ’ ἐπιχώριος ἡμῶν θεὸς Ἀθηνᾶ, ἡ πολιοῦχος καὶ συνέχουσα καὶ φρουροῦσα τὴν πόλιν, ἡ ἡνίοχος τῆς αἰγίδος ἡ περιστρέφουσα καὶ κινοῦσα τὸ τοῦ Διὸς ὅπλον, τὴν αἰγίδα. ἀπὸ κοινοῦ τὸ “παρίστασο” καὶ βοήθει ἡμῖν.

book 602 ἡνίοχος] ὁ κυβερνήτης.

book 603 ὁ Διόνυσός τε ὁ τοὺς κώμους καὶ τὰ συμπόσια ποιῶν, ὃς οἰκῶν τὴν παρνασίαν πέτραν ἤτοι τὸν Παρνασόν—ὁ δὲ Παρνασὸς ὄρος Φωκίδος ἐστί—σὺν πεύκαις καὶ δᾳσὶ σελαγεῖ καὶ λαμπρὸν φῶς ὑπανάπτει ἐμπρέπων καὶ διαπρεπῶς καὶ λαμπρῶς ὁρώμενος ταῖς δελφικαῖς Βάκχαις ταῖς οὔσαις ἐκ Παρνασοῦ καὶ Δελφῶν καὶ Φωκίδος.

book 605 Βάκχαις] δούλαις.

book 607a ἡνίχ’ ἡμεῖς: πάλιν πρὸς τοὺς θεατάς φησιν ὁ χορός· ἡνίκα παρεσκευάσμεθα ἐνταῦθα ἐλθεῖν, ἡ σελήνη συναντήσασα ἡμῖν ἐπέστειλε καὶ ἐπέτειλε καὶ ἐνετείλατο, φράσαι καὶ εἰπεῖν, πρῶτα μὲν χαίρειν Ἀθηναίοισι καὶ τοῖς ξυμμάχοις, εἶτα ὀργίζεσθαι ἔφασκεν ὑμῖν. λυσιτελοῦσαν γὰρ

εἰς πολλὰ καὶ ὠφελοῦσαν ὑμᾶς βλάπτεσθαι ταύτην παρ’ ὑμῶν μὴ τηρούντων τὰς σεληναίας ἡμέρας, ἀλλὰ συγχεόντων, ἐξ ἧς συγχύσεως ἡμερῶν μὴ λαμβάνοντες οἱ θεοὶ τὰς θυσίας ἐν ταῖς προσφόροις αὐτῶν ἑορταῖς ἀγανακτοῦσι κατ’ αὐτῆς. καὶ ὅταν

book 607a θύειν ἁρμόδιον, ὑμεῖς στρεβλοῦτε καὶ δικάζετε. τὰς τοιαύτας δαιμονίας τοῦ δαιμονίου τούτου σὺν παιγνίοις παραινέσεις ὑπερθειάζω καὶ ὑπεράγαμαι. ἡ τῇδε διάνοια πᾶσα ἐρρέθη μοι σχεδὸν καὶ αἱ λέξεις, ῥητέον δ’ ἡμῖν ὅ τι εἴ τι παραλέλειπται.

book 607b ⟦παράβασις.⟧

book 607b, col. 2 ἀντεπίρρημα.

book 607c δεῦρ’ ἀφορμᾶσθαι] ἐνταῦθα ἐλθεῖν.

book 608a συντυχοῦς’] συναντήσασα.

book 608b ἐπέστειλε] ὥρισε καὶ προσέταξε.

book 609 πρῶτα μὲν χαίρειν: ἀρχαῖον ἔθος ἦν ταῖς ἐπιστολαῖς τὸ “χαίρειν” προτάσσειν Κλέωνος μετὰ τὴν πόρθησιν Πύλου, Κορυφασίου καὶ Σφακτηρίας οὕτω γράψαντος πρώτου· Κλέων χαίρειν Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις, μᾶλλον δέ· Κλέων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

book 610 πεπονθέναι] παρ’ ὑμῶν τῶν Ἀθηναίων.

book 611a ὠφελοῦς’] ἡ σελήνη.

book 611b ἐμφανῶς] ἐμπράκτως.

book 612a δραχμήν: δραχμή ἐστιν ἓξ ὀβολοὶ ἤτοι σταθμὸς κερατίων ὀκτωκαίδεκα· ὁ ὀβολὸς γὰρ σταθμῷ ἐστι τρία κεράτια.

book 612b μὲν] οὖν.

book 612c δραχμήν] ἀνηλίσκετο.

book 614a μὴ πρίῃ: μὴ ὠνήσῃ. “μὴ ἀγοράσῃς” δὲ τεχνικῶς καὶ κυρίως “μὴ ἐν ἀγορᾷ διατρίψῃς” φησίν.

book 614b πρίῃ] ἀγόρασαι.

book 614c παῖ] ὦ.

book 615a ἄλλα τ’ εὖ δρᾶν φησιν ὑμᾶς: καὶ ἄλλα μυρία ἀγαθά φησιν ἡ σελήνη ποιεῖν ὑμᾶς καὶ ὑμῖν ἢ εἰς ὑμᾶς, καὶ οὐκ ἄγειν καὶ ἀριθμεῖν, ὑμᾶς τὰς ἡμέρας ὀρθῶς κατ’ οὐδέν, ἀλλ’ ἄνω καὶ κάτω ἤτοι πεφυρμένως, κυδοιδοπᾶν καὶ θορυβεῖν καὶ κύδους καὶ λοιδορίας, ὅπα καὶ φωνήν, λέγειν· καὶ διπλασιασμῷ ἀττικῷ κυδοιδοπᾶν.

book 615b ὑμᾶς] εἰς.

book 615c ὑμᾶς] ὑμῖν.

book 615d τὰς ἡμέρας] τῆς σελήνης.

book 616a [τὴν] τοῦ κύδους καὶ λοι[δο]- ρίας, ὅπα καὶ φωνήν, [λέ]γειν· καὶ διπλα[σια]σμῷ ἀττικῷ κυδοιδοπᾶν.

book 616b ὥσπερ λέγεται ὁ ὕμνος ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ, οὕτω καὶ τὸ κῦδος. ἔστι δὲ ἐνταῦθα κυδοπᾶν καὶ συγχέειν· τὸ δὲ “δοι” πλεονάζει.

book 616c ἄνω τε καὶ κάτω] πεφυρμένως.

book 616d κυδοιδοπᾶν] θορυβεῖν, παλάσσειν.

book 617 ὥστ’ ἀπειλεῖν 〈...〉 αὐτῇ τοὺς θεοὺς ἑκάστοτε: σαφῆ τὰ πάντα· ὥστε, φησὶν ἡ σελήνη, ἑκάστοτε καθ’ ἑκάστην, νῦν δὲ συνεχέστερον, αὐτῇ ἀπειλεῖν τοὺς θεούς, ἂν ψευσθῶσι καὶ ἀπατηθῶσι, μὴ τυχόντες δείπνου καὶ θυσίας, καὶ ἀπίωσιν οἴκαδε νήστεις τῆς ἑορτῆς μὴ

τυχόντες κατὰ λόγον καὶ τάξιν, τῶν ἡμερῶν ἐν τῷ ψευδῶς ὑμᾶς συγχέειν καὶ μὴ ἀκριβῶς ἀριθμεῖν καὶ εἰδέναι καλῶς, τὰς ἡμέρας τῶν ἑορτῶν.

book 618 ψευσθῶσι] ἀποτύχωσι.

book 619 λόγον] ἀριθμόν, μέτρον, τάξιν.

book 620a δέῃ] χρεία ὑπάρχει.

book 620b δέῃ] δέον.

book 620c στρεβλοῦτε καὶ δικάζετε] πρωθύστερον.

book 621a πολλάκις δ’ ἡμῶν: πολλάκις δὲ ἡμῶν τῶν θεῶν ἀπαστίαν καὶ νηστείαν ἀγόντων ἐν τῷ πενθεῖν Μέμνονα τὸν τῆς Ἠοῦς παῖδα βασιλέα ὄντα Αἰθιόπων, ὃν Ἀχιλλεὺς ἀνεῖλε συμμαχοῦντα Πριάμῳ, ἢ τὸν Σαρπηδόνα· ὁ Σαρπηδὼν τῆς θυγατρὸς Βελλεροφόντου Λαοδαμείας καὶ Διὸς παῖς ὑπῆρχεν, οὗ ὑπὸ Πατρόκλου ἀνῃρημένου αἵματι δακρύσας ἐχύθη πατρώιος ἀήρ.

book 621b ἀπαστία ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ σπῶ, τὸ μεταλαμβάνω. δι’ εὐφωνίαν δὲ ἔγραψεν ἀπαστίαν.

book 621c ἀπαστίαν] νηστείαν.

book 622 Μέμνον’] τὸν Τιθωνοῦ καὶ Ἡμέρας υἱόν, ὃν ἔκτεινεν Ἀχιλλεύς.

book 623 ἀνθ’ ὧν λαχὼν Ὑπέρβολος τῆτες: Πυλαία τόπος ἐστὶν ἐν Δελφοῖς, ὅτι ἐκεῖ, φασί, πρῶτος Πυλάδης ἐκρίθη ὡς συμμετασχὼν Ὀρέστῃ τοῦ φόνου τῆς Κλυταιμνήστρας. ἔπεμπον δὲ εἰς Δελφοὺς Ἀθηναῖοι καὶ εἰς τὴν Πυλαίαν πυλαγόρας πυλαγόρους καὶ ἱερομνήμονας ἐπισκόπους τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. λαχὼν δὲ καὶ Ὑπέρβολος εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν ἢ τὰ τῶν θυσιῶν οὐ καλῶς ἐπεσκόπει ἢ τῆς ἀρχῆς καὶ τῆς δημαγωγίας ἐκπέπτωκεν, ὅθεν οὗτός φησιν· ἀνθ’ ὧν λαχὼν Ὑπέρβολος τῆτες καὶ πρὸ μικροῦ, ἱερομνημονεῖν ἀφῃρέθη παρ’ ἡμῶν τὸν στέφανον τῆς ἱερομνημοσύνης.

book 624a πρὸ μικροῦ.

book 624b [ἐπε]ὶ εἰς ἡμᾶς τοῦτο [τ]ὸ ὀφφίκιον.

book 624c τῆτες ἱερομνημονεῖν] ἰστέον, ὅτι ἐκ τούτων ἐπεραιώθη.

book 624d κᾄπειθ’] περισσόν.

book 625 εἴσεται] γνωρίσῃ.

book 626 ὡς] ὅπως.

book 627a μὰ τὴν Ἀναπνοήν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα: ἀγανακτῶν ὁ Σωκράτης εἰσάγεται διὰ τὴν ἀφυΐαν τοῦ Στρεψιάδου, καὶ ὀμνύει Ἀναπνοήν, Ἀέρα καὶ Χάος, ἃ δὴ καὶ θεοὺς ἐνόμιζεν εἶναι κατὰ τοῦτον τὸν ἀλιτήριον, μὴ ἰδεῖν πώποτε ἀφυέστερόν τινα Στρεψιάδου μηδ’ ἐπιλησμονέστερον. (628) ἄγροικον: ἀμαθῆ· ἀγροῖκον δὲ τὸν χωριτικῷ βίῳ ζῶντα. χρᾶται δὲ καὶ (629) λέξεσι πάνυ φιλοσόφοις ἀλαζόσι πρεπούσαις. ἄπορον: ἀφυῆ. σκαιὸν: (630—’33) ἀνεπιτήδειον. σκαλαθυρμάτια: σκαλεύματα, παίγνια. ὅμως καλῶ καὶ καλέσω, αὐτὸν ἔξω, δεῦρο καὶ ἐνταῦθα, πρὸς τὸ φῶς. ποῦ Στρεψιάδης; ἔξει καὶ ἔξελθε, τὸν ἀσκάντην καὶ τὸν σκαμβόποδα θρόνον, λαβών.

book 627a (634) Στρεψιάδης δέ· ἀλλ’ οὐκ ἐῶσί με, φησίν, ἐξενεγκεῖν τοῦτον οἱ κόρεις· πεπληρωμένος γάρ ἐστι κόρεων.

book 627b Χάος] σκότος.

book 627b, col. 2 ἴαμβοι.

book 629 σκαιὸν] ἀμαθῆ.

book 630a

σκαλίσματα, εὐτελῆ παίγνια, ἤγουν εὐτελῆ μαθήματα.

book 630b σκαλαθυρμάτι'] εὐτελῆ νοήματα.

book 630c ἄττα] τινά.

book 631 ταῦτ'] τούτων· ἀττικόν.

book 633a ἔξει] ἔξελθε.

book 633b τὸν ἀσκάντην] τὸν σκαμβόποδα θρόνον.

book 634 οἱ κόρεις] ἡ εὔθεια ἡ κόρις, ὡς ὄφις.

book 635a ἀνύσας κατάθου: σπουδάσας θὲς τοῦτον τὸν ἀσκάντην. καὶ ὁ Στρεψιάδης αὐτὸν τεθεικώς φησιν· ἰδοὺ καὶ ἄρτι, σοὶ πεισθεὶς τοῦτον τέθεικα. "ἰδού" τὸ "ἄρτι" καὶ νῦν, βαρύνεται ἢ ὀξύνεται πρὸς τὴν τοῦ λόγου συνέπειαν, "ἰδοῦ" δὲ ἀντὶ τοῦ "ἴδε" ἀττικῶς περισπᾶται, ὡς τὸ ἰδοῦ με κἀνάθρησον, οἷ' ἔχω κακά.

book 635b ἀνύσας] σπεύσας.

book 635c κατάθου] θὲς τὸν ἀσκάντην.

book 636 ἄγε δή, τί βούλει: τοῦ κοριῶντος θρόνου τεθέντος ἐρωτᾷ τὸν Στρεψιάδην Σωκράτης, τί βούλεται μαθεῖν, περὶ μέτρων ἢ ἐπῶν ἢ ῥυθμῶν. βαττολογοῦσιν ἐνταῦθα οἱ πρὸ ἡμῶν, ἡμῖν δὲ μάθε σαφῶς καὶ συντόμως διδάσκουσιν. μέτρα μὲν πάντα τὰ εἴδη καλεῖται τῶν στίχων, ἔπη δὲ τὰ ἡρωϊκά, ῥυθμὸς δέ ἐστιν ἡ εὐρυθμία καὶ τοῦ λόγου τὸ δίαρμα. διαβάλλει δέ, μᾶλλον δὲ κωμῳδεῖ, κἀνταῦθα τοὺς φιλοσόφους ὡς φθονεροὺς καὶ ὑπερθέτας καὶ μελλητάς, ἔτι δὲ καὶ ὑποσχομένους διδάσκειν ἅπερ οὐκ ἴσασιν. ποῦ γὰρ ὁ Σωκράτης ἢ μετρικὸς ἢ ἐποποιὸς ὑπῆρχεν ἢ πρὸς λύραν τινὰ μέτρα λέγειν εἰδώς; ἐγὼ δέ, εἰ μὴ καὶ Ἀριστοφάνης κατωτέρω ἐφαίνετο οὕτω ταῦτα νοῶν, ἠβουλόμην οὕτω ἑρμηνεῦσαι αὐτά· περὶ μέτρων καὶ γεωμετρίας βούλει μαθεῖν ἢ περὶ ἐπῶν, εὑρεσιεπείας

book 636 ῥητορικῆς, ἢ ῥυθμικῆς καὶ μουσικῆς; ἀλλὰ τὰ κατωτέρω κείμενα τῆς γραφῆς οὐκ ἐᾷ ταῦτα οὕτω νοεῖσθαι, ἀλλ', ὡς προεῖπον, εἶπον, ἔπη καὶ μέτρα καὶ ῥυθμοὺς ποιητικούς.

book 638a μέτρων] ἰαμβείων.

book 638b ῥυθμῶν ἢ ἐπῶν] ἡρωϊκῶν τῶν ἀμφοτέρων.

book 638b, col 2 ῥυθμῶν] εὐρυθμίας λόγου.

book 639a περὶ τῶν μέτρων ἔγωγε: περὶ μέτρων ἀκούσας ὁ Στρεψιάδης ὡς ἄγροικος τάχα καὶ ἄπειρος μέτρων ποιητικῶν, σιτομετρούντων δὲ μετέχων καὶ τοιούτων μέτρων, ἀρταβῶν, μεδίμνων, χοινίκων· περὶ τῶν μέτρων, φησί, βεστίτζη Σώκρατες ἀνιπτόπου, μαθεῖν βούλομαι· ἔναγχος γὰρ καὶ πρὸ βραχέος καὶ πρὸ μικροῦ, ἀλευροπράτῃ ἀνθρώπῳ ἠπατήθην καὶ παρεμετρήθην ἄλευρα ὠνούμενος διχοινίκῳ, ἤτοι εἰκοστῷ τετάρτῳ τοῦ μεδίμνου· ὁ μέδιμνος γὰρ χοίνικας ἔχει μη'.

book 639b 639/40] ἐμπαίζει τοὺς φιλοσόφους ὡς μὴ τοιαῦτα μέτρα γινώσκοντας.

book 640a ἀλφιταμοιβοῦ] ἀλευροπράτου ἤγουν σιτοπώλου.

book 640a, col 2 ἀλφιταμοιβοῦ] μετρητοῦ.

book 640b παρεκόπην διχοινίκῳ] παρεκρούσθην, ἠδικήθην δύο ταγάρια.

book 640b, col 2 παρεκόπην] ἐζημιώθην.

book 641 οὐ τοῦτ' ἐρωτῶ σε· οὐ περὶ τοιούτων μέτρων ἐρωτῶ σε, ἀποκρίνεται Σωκράτης, ἀλλ' ὅπερ νομίζεις κάλλιστον μέτρον, τὸ τρίμετρον ἢ τὸ τετράμετρον. τρίμετρον μέτρον τὸ τρεῖς πόδας ἔχον ἢ κατὰ μονοποδίαν ἢ διποδίαν μεμετρημένους, τετράμετρον δὲ τὸ τέσσαρας. (643) πάλιν ὁ Στρεψιάδης τῶν γεωργικῶν μέτρων ἔμπειρος ὤν, ποιητικὸν δὲ μὴ γινώσκων μέτρον γελοιωδῶς ἀποκρίνεται· οὐδὲν νομίζω πρότερον καὶ τιμιώτερον καὶ κάλλιστον, ἀφ' ὧν μοι

λέγεις μέτρων, ἀλλὰ τὸ ἡμιεκτέον (644) ἤγουν τὸ τετραχοίνικον κάλλιστον δοκῶ. καὶ ὁ Σωκράτης μέτρον ἡμιεκτέον ἀκούσας σιτομετρικὸν βάρβαρον· οὐδέν, φησίν, ὦ ἄνθρωπε, λέγεις περὶ ὧν μέτρων ἐγὼ λέγω, ἀλλὰ δηλονότι φλυαρεῖς. καὶ ὃς πάλιν γελοίως παραλογίζεται Σωκράτη(ν) λέγων· λέγεις με λέγειν οὐδέν, μηδέν, ὦ Σώκρατες, ἀλλὰ φλυαρεῖν. περιδοῦ νῦν ἐμοί, ῥήτραν καὶ συνθήκην καὶ συμφωνίαν μετ᾽ ἐμοῦ ποίησον καὶ ἀποδώσω τὸ συμφωνηθὲν πρόστιμον, εἰ μὴ τὸ τετράμετρόν ἐστιν ἡμιεκτέον. πῶς δὲ ὁ Στρεψιάδης λέγει· τὸ τετράμετρόν ἐστιν ἡμιεκτέον, ἤγουν τὸ τετρα-

book 641 χοίνικον, νῦν ἄκουε. ἔφην τεσσαράκοντα ὀκτὼ χοινίκων εἶναι τὸν μέδιμνον. οἱ ὀκτὼ χοίνικες ἕκτον εἰσὶ μεδίμνου· τῶν ὀκτὼ χοινίκων ἤτοι τοῦ ἕκτου τοῦ μεδίμνου 〈ἥμισυ ἤτοι〉 ἡμιεκτέον ἐστὶ τὸ τετράμετρον, τουτέστι τὸ τετραχοίνικον. (646) ἀκούσας δὲ Σωκράτης τὸ τετράμετρον εἶναι ἡμιεκτέον δυσφορεῖ κατὰ Στρεψιάδου καί· ἐς κόρακας καὶ ἐς ἀφανισμὸν ἄπιθι, φησίν, ὅτι ἄγροικος καὶ βάρβαρος, εἶ καὶ δυσμαθής. καὶ κατειρωνευόμενος λέγει· τάχυ γ᾽ ἂν σὺ δυνηθῇς (648) περὶ εὐρυθμίας λόγου μαθεῖν. καὶ ὅς· τί δέ με ὠφελήσουσι ταῦτα πρὸς τὰ (649) ἄλευρα ἤτοι πρὸς τὸ ἔχειν ἄρτον καὶ ζῆν; πάλιν δὲ ὁ Σωκράτης· πρῶτόν σε ὠφελήσουσιν οἱ ῥυθμοὶ εἶναι κομψὸν καὶ σοφὸν καὶ ὑψηλόν, ἐν συνουσίαις (650/'51) καὶ ὁμιλίαις καὶ ταῖς μετ᾽ ἄλλων συλλαλιαῖς. εἶτα γινώσκειν, ποῖος

book 641 ῥυθμός ἐστι κατ᾽ ἐνόπλιον, ποῖός τε κατὰ δάκτυλον. κατ᾽ ἐνόπλιον ῥυθμὸς δύο δάκτυλοι καὶ σπονδεῖος· οἷς δὲ νῦν Ἀριστοφάνης φησί, φαίνεται λέγων τὸ πυρριχιακὸν τὸ ἀπὸ Πύρρου κληθέν, ὃ σὺν ὅπλοις κινούμενοι ἔλεγον. ἐπάγει γὰρ "χ᾽ὡποῖος κατὰ δάκτυλον". σῴζει δὲ καὶ πρὸς τὸ πρότερον· εἰ γὰρ κἀκεῖνο δακτύλους ἔχει, ἀλλ᾽ ὅμως ἔχει καὶ σπονδεῖον σὺν αὐτοῖς· κατὰ δάκτυλον δέ φησι τὸν καθαρῶς δακτυλικόν. (652) καὶ πάλιν παράγεται Στρεψιάδης ἀκούσας τὸ "κατὰ δάκτυλον" ὡς ἄγροικος γελοῖα λέγων καὶ βάρβαρα. νομίζων γὰρ τὸν λόγον περὶ δακτύλων χειρός· νὴ τὸν Δία, φησίν, ἀλλ᾽ οἶδα τὸν δάκτυλον καὶ οὐ βούλομαι μαθεῖν (653) περὶ τούτου. καὶ ὁ Σωκράτης θυμῷ δείξας τὸν τῆς χειρὸς αὐτοῦ δάκτυλον·

book 641 (654) σύ, φησίν, ἄλλον ἐπίστασαι δάκτυλον ἄνευ τοῦδε; καὶ ὁ Στρεψιάδης πρὸς ταῦτα· ὅτε παῖς ἤμην καὶ νῦν ἐγήρασα, αὐτὸς ἐλέγετο δάκτυλος.

book 642a τὸ τρίμετρον] τὸ ἰαμβεῖον δὶς τρίς.

book 642b τὸ τετράμετρον] τὸ διιαμβικὸν δὶς δίς.

book 643a ὁ μέδιμνος ἔχει χοίνικας μη′. τούτων δὲ τὸ ς′ τὰ η′· τὸ ἥμισυ τοῦ ς′, τουτέστι τῶν η′, τὰ δ′, ὃ καλεῖται τετράμετρον. ὁ γοῦν ἡμιεκτέος τέσσαρας ἔχει χοίνικας.

book 643b πρότερον] τιμιώτερον, καλλιώτερον.

book 643c ἡμιεκτέου] χρῄζω μαθεῖν· ἢ τοῦ τετραχοινίκου.

book 644a οὐδὲν λέγεις] ἀλλὰ φλυαρεῖς.

book 644b περιδοῦ ... ἐμοί] συμφωνίαν μετ᾽ ἐμοῦ ποίησον.

book 645 ἡμιεκτέον] τὸ τετραχοίνικον.

book 646a ἐς κόρακας] βάλε.

book 646b ὡς] λίαν.

book 647 ταχύ] εἰρωνεία.

book 647,col.2 ταχύ] ἐν εἰρωνείᾳ.

book 649a κομψὸν] δημηγόρον.

book 649b συνουσίᾳ] ὁμιλίᾳ.

book 650 ἐπαΐειν] ἀκούειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 651 ἐνόπλιον] πυρρίχιον.

book 654a 654] οὗτος ἦν ὁ δάκτυλος, ὃν εἶχον καὶ πρῴην παῖς ὢν καὶ νῦν γέρων ὤν.

book 654b ούτοσί] ὁ δάκτυλος.

book 655a οὐ γάρ, ὦζυρέ, καὶ ὀϊζυρὲ καὶ ταλαίπωρε Σώκρατες βεστίτζη χεζοβράκη, τούτων χρῄζω μαθεῖν οὐδέν. ὁ Σωκράτης πάλιν· τί δαὶ θέλεις μαθεῖν; καὶ πάλιν ὁ Στρεψιάδης ἀγανακτῶν· ἐκεῖνο ἐκεῖνο, φησί, θέλω μαθεῖν, ὅπερ σοι πολλάκις εἶπον, τὸν ἀδικώτατον λόγον. καὶ πάλιν ὁ Σωκράτης φθονερῷ καὶ ὑπερθετικῷ τρόπῳ φιλοσοφούντων φησίν· ἀλλ᾽ ἕτερα δεῖ σε πρὸ τοῦ ἀδίκου λόγου μαθεῖν, τίνα τῶν τετραπόδων ἐστὶν ἄρρενα ὀρθῶς, ἀκριβῶς, ἀληθῶς, καὶ μὴ ὀνόματι μόνον. ὁ θρόνος γὰρ καὶ ἡ θύρα καὶ τὸ δένδρον οὐδέτερα τοῖς φιλοσόφοις καλοῦνται πρὸς τὸ σημαινόμενον· ξύλα γάρ εἰσι, κἂν ὁ θρόνος ἀρσενικὸν ὄνομα τῇ κλήσει ἐστίν, ἡ δὲ θύρα θηλυκόν. ἢ καὶ ἄλλως·

book 655a ὀρθῶς ἄρρενα εἶπεν ὁ βδελυρὸς κωμικὸς τὰ μὴ ἀνδρικῇ κλήσει τισὶ τιθέμενα, οὖσι δὲ δειλοῖς καὶ ἀπολέμοις τρόπῳ γυναικῶν ἢ καὶ ἑτέρως· κωμῳδῆσαι γὰρ τοιούτους ὁ βδελυρὸς βούλεται.

book 655b ἀγρεῖος] ἀγρότης.

book 655b, col 2 ἀγρεῖος] ἄγροικος.

book 655c σκαιός] ἀμαθής.

book 655c, col 2 σκαιός] ἀπαίδευτος.

book 655d ὦζυρέ] ἐπίπονε, ταλαίπωρε.

book 656 δαί] ἄρα.

book 658 δεῖ] πρέπει.

book 659a ἅττ᾽] ὁποῖα.

book 659b ὀρθῶς] κατ᾽ ἀλήθειαν.

book 660a καὶ ὁ Στρεψιάδης· ἀλλ᾽ οἶδα ἐγὼ τἄρρενα,

book 660a, col 2 ἀλλ᾽ οἶδ᾽ ἐγὼ τἄρρενα, φησὶν ὁ Στρεψιάδης,

book 660a εἰ μὴ ἔξω φρενῶν εἰμι· κριός, ταῦρος, τράγος, ἀλεκτρυών. οὐχ ὡς οἱ παλαιοὶ δέ φασι τοῦ γέλωτος ἕνεκα τὸν ἀλεκτρυόνα τοῖς τετράποσι κατέμιξε, δεινότητι δὲ καὶ οἰκονομίᾳ τοῦ κωμικοῦ τούτου ῥήτορος πρὸς τὸ "ὀρθῶς ἄρρενα" ἀπήντησε, καὶ δείξας εἰπὼν ἄρρενα ὀνόματα τετραπόδων νῦν περιουσιαστικῶς, ἐν συντομίᾳ τοῦ λέγειν ἄρρεν ὄνομα, καὶ δίποδα δεικνύων εἶπεν· ἀλεκτρυών, τρόπον τινὰ λέγων Σωκράτει· ἄρρενά με ὀνόματα εἰπεῖν ἐν τετράποσιν ἠνάγκασας, ἐγὼ δ᾽ ἐν τετράποσιν εἰπὼν περιουσιαστικῶς εἶπον καὶ ἐκ διπόδων ἕν, ὅτι ἄρρεν καὶ ἐν δίποσιν, ὁ ἀλεκτρυών, ἵνα μὴ μακρηγορῶ. τοῦτο δὲ τῆς οἰκονομίας ἦν πάντως τοῦ κωμικοῦ καὶ μεθόδου δεινότητος. ὕστερον τὸν ἀλεκτρυόνα ἐτήρησεν, ἵνα προφάσεις καὶ ἀφορμὰς ἐντεῦθεν πάλιν εὑρὼν ἀναβλύσῃ νοήματα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

book 660a αὐτίκα γὰρ τοῦ "ἀλεκτρυών" ῥήματος ἐπιλαβόμενός φησιν ὁ Σωκράτης· ὁρᾷς, ἃ πάσχεις; τὸ ἄρσεν καὶ θῆλυ τούτων τῶν ζῴων ὁμοίως λέγεις ἀλεκτρυών. καὶ ὁ Στρεψιάδης· ναὶ μὰ τὸν Ποσειδῶνα, φησίν, οὕτω καλῶ ταῦτα. εἰ δ᾽ ἐπταισμένως καὶ πλημμελῶς ταῦτα καλῶ, νῦν δίδαξόν μοι, πῶς χρή με ταῦτα καλεῖν. καὶ ὁ Σωκράτης· τὴν θήλειαν κάλει ἀλεκτρύαιναν, τὸν ἄρρενα δὲ ἀλέκτορα.

book 660a πάλιν ὁ Στρεψιάδης· τὴν θήλειαν ἀλεκτρύαιναν δεῖ καλεῖν; εὖγε, νὴ τὸν Ἀέρα. ὁρᾷς, ὅπως πῶς ὁ ἀλεκτρυὼν οὗτος νοημάτων βλύειν ἤρξατο χύσεις, ἥπερ χύσεις ὑδάτων ὁ ἀλεκτρυὼν ὁ ἐν τῷ τοῦ Ἀρεοβίνδου λουτρῶνι ἑστώς; εἶπε γὰρ εὐθὺ Στρεψιάδης· ἀλεκτρύαιναν δεῖ χρὴ καλεῖν; εὖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γε, νὴ τὸν Ἀέρα, ὥστε ἀντὶ τοῦ μαθεῖν με τοῦτο μόνον, ὅτι τὴν θήλειαν χρὴ καλεῖν ἀλεκτρύαιναν, διαλφιτώσω καὶ ἀλεύρου πληρώσω, τὴν κάρδοπον ἤτοι τὴν ἀλευροδόχον σκάφην. τὸ δὲ "κύκλῳ" περισσόν. ἔχεις ἐκ τοῦ ἀλεκτρυόνος ἐκρεῦσαν νῦν ἓν νόημα διπλοφυὲς κενταυρόμορφον. γελᾷ γὰρ πρώτως τὴν περὶ ὀνόματα τῶν φιλοσόφων ἀκρίβειαν, τὴν περὶ τὸ θεῖόν τε καταφρόνησιν τούτων, καὶ τρίτως αὐτῶν τὸ σκληρόβιον καὶ τὸ μηδ' ἄρτου κἂν αὐτοὺς εὐπορεῖν, μονονοὺ φάσκων· κατωφρυωμένα καὶ

book 660a ὑπότυφα ἀνθρωπάρια, οὐ πολλῷ κρεῖττον ἦν τοῦ ἀλεκτρύαιναν λέγειν καὶ σκαλαθυρμάτια καὶ ἃ ἕτερα ὁμοίως ληρεῖτε, καὶ τοῦ ἀσεβεῖν εἰς τὸ θεῖον, καὶ μηδ' ἄρτου κορέννυσθαι, φρονεῖν μετριώτερα καὶ ἔχειν τὰ ζωαρκῆ; τόσα μὲν ὁ ἀλεκτρυὼν ἔβλυσε τὰ νοήματα τῷ παραγαγεῖν τὴν ἀλεκτρύαιναν, ὥσπερ ἤκουσας· ἡ παραγωγὴ ταύτης τὸν Ἀέρα δυσσεβῶς ἐπομνύμενον καὶ τὰ ἄλφιτα, τὰ ἄλφιτα δὲ τὴν κάρδοπον, ἡ κάρδοπος δὲ τὸν Κλεώνυμον παρήγαγεν. καὶ ἄλλο ἐξ ἄλλου νοήματος οὑτωσὶ πλημμυρεῖ. οὐ μὴν δὲ κατὰ τοὺς πρὸ ἡμῶν ἕνεκα τοῦ γελοίου ὁ ἀλεκτρυὼν κατετάγη τετράποσιν.

book 660b μαίνομαι] δαιμονίζομαι.

book 663 κατ' αὐτὸ] ὁμοίως.

book 664a ἀλεκτρυὼν] ὁ.

book 664b κἀλεκτρυών] καὶ ἡ.

book 665 νὴ] ναί.

book 669a διαλφιτώσω] ἄλευρα γεμίσω.

book 669b τὸν κάρδοπον] τὴν σκάφην.

book 670a τὴν κάρδοπον: ἐπιλαμβάνεται πάλιν Σωκράτης τοῦ Στρεψιάδου εἰπόντος· τὴν κάρδοπον, καὶ ἀρσενικῶς αὐτὴν λέγει καλέσαι κάρδοπον, ὡς Κλεώνυμον. καὶ ὁ Στρεψιάδης· πῶς λέγεις τὴν κάρδοπον ἄρρενα; καί φησιν ὁ Σωκράτης· τὸ αὐτὸ δύναταί σοι ἡ κάρδοπος τῷ Κλεωνύμῳ; τί ἐστι "τὸ αὐτὸ δύναται"; ἤτοι ἀμφότερα εἰς –ος λήγουσι καί εἰσιν ὁμοιοκατάληκτα Κλεώνυμος, κάρδοπος· ἢ καὶ οὕτως ἔστι νοῆσαι· "ταὐτὸ δύναταί σοι κάρδοπος καὶ Κλεώνυμος" ἤτοι ἀμφότερα ἐναντίας ἔχουσιν αὐτὰ ἑαυτοῖς τὰς κλήσεις, ὡς σὺ τέως αὐτὰ ὀνομάζεις· θήλειαν γὰρ οὖσαν τὴν κάρδοπον ἀρσενικῶς ταύτην καλεῖς καὶ τὸν Κλεώνυμον ὁμοίως οὐδὲν διαφέροντα γυναικῶν ἄρρενα καλεῖς. διαβάλλει δὲ τὸν Κλεώνυμον ἢ κωμῳδεῖ, ἕνα τῶν τῆς πολιτείας ὄντα, ὡς γυναικώδη ἤτοι ῥιψάσπιδα καὶ δειλόν, ἢ ὡς γυναικιζόμενον καὶ κίναιδον καὶ ἀδδηφάγον καὶ παράσιτον καὶ ἠπορημένον τοσοῦτον καὶ ἐνδεῆ, ὡς μηδὲ

book 670a μάκτραν ἢ κάρδοπον ἔχειν, ἀλλ' ἐν θυείᾳ πέττειν καὶ ζυμοῦν τὰ ἑαυτοῦ ἄλευρα καὶ ὅσα οὗτος καὶ οἱ ἕτεροι δὲ ἀλιτήριοι βούλονται. μάκτρα δὲ καὶ κάρδοπος τὸ αὐτό· κενολογοῦσι γὰρ περὶ τούτων οἱ παλαιοί. τὴν μεγάλην γὰρ σκάφην, ἐν ᾗ ζυμοῦσι τὰ ἄλευρα, δηλοῦσιν ἀμφότερα. θυεία δὲ κυρίως ἡ ἴγδη καλεῖται, καὶ πᾶν ᾧ χρήσεταί τις ἀντὶ θυείας.

book 670b ἕτερον] πταῖσμα.

book 671 τῷ] ἐν τίνι.

book 673 φράσον] εἰπέ.

book 674 ταὐτὸν] ὅμοιον.

book 675a ἀλλ' ὦγάθ' οὐδ' ἦν κάρδοπος Κλεωνύμῳ: ἀλλ', ὦ ἀγαθὲ Σώκρατες, οὐδ' ἦν κάρδοπος καὶ μάκτρα καὶ μεγίστη ἀλεύρων σκάφη, τῷ Κλεωνύμῳ, ἀλλ' ἐν στρογγύλῃ θυείᾳ, ἴγδη καὶ τριπτηρίᾳ, ἀνεμάττετο καὶ ἐζύμου, τὰ ἄλευρα. ὁρᾷς ἀλλεπάλληλον χύσιν τῶν νοημάτων ἐκ τοῦ ἀλεκτρυών.

book 675b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

675] σκώπτει τὸν Κλεώνυμον ὡς φειδωλόν.

book 675c Κλεωνύμῳ] τῷ.

book 676a θυείᾳ] ἴγδῃ ξυλίνῃ.

book 676b ἀνεμάττετο] ἐζύμου.

book 677a ἀτάρ] δέ.

book 677b τὸ λοιπὸν] μετὰ ταῦτα.

book 678 Σωστράτην] διαβάλλεται ὡς γυναικώδης.

book 679 ὀρθότερον λέγεις: πάνυ ἠθικώτατος καὶ ἀστεῖος ὁ λόγος, τὸ φέρειν ἄνθρωπον ἄγροικον φιλοσόφῳ λέγοντα· ὀρθότερον λέγεις ἐμοῦ σὺ τὸ τῆς λέξεως ὄνομα. νῦν γὰρ τὸ “ὀρθότερον” συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ ἀττικῶς οὐκ ἐρρήθη, ἤτοι ὀρθόν.

book 680a ἐκεῖνο δ’ ἦν ἄν: ἐκεῖνο δὲ τὸ ῥῆμα πάλιν ἂν ἦν ἰσοκατάληκτον, εἰ εἶπον· καρδόπη, Κλεωνύμη. πάλιν σύρει τὸν Κλεώνυμον, καὶ Σώστρατον δέ τινα Σωστράτην λέγων. τὰ τῶν λοιπῶν ὀνομάτων σαφῆ.

book 680b αὖ ἂν] καλέσῃς.

book 680c καρδόπη, Κλεωνύμη] ἰσοκατάληκτον.

book 680d Κλεωνύμη] ὥσπερ.

book 689a πῶς ἂν καλέσῃς: πῶς κατὰ κλητικὴν πτῶσιν καλέσεις Ἀμυνίαν; καὶ ὁ Στρεψιάδης· ἐρωτᾷς, πῶς ὅπως ἂν καλέσω κατὰ κλητικὴν Ἀμυνίαν; ὡδὶ καὶ οὕτω· δεῦρο δεῦρο Ἀμυνία, ἤτοι ἐλθέ. καὶ ὁ Σωκράτης πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος· ὁρᾷς, φησί, γυναῖκα τὴν Ἀμυνίαν καλεῖς; καὶ ὁ Στρεψιάδης· δικαίως γυναῖκα τὸν Ἀμυνίαν καλῶ, ἄνθρωπον δειλὸν καὶ μὴ στρατευόμενον. οὗτος μὲν ὡς δειλὸν τὸν ἄνδρα διαβάλλει, ἄλλοι δ’ Κρατῖνος δὲ ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην, Εὔπολις δὲ ὡς παραπρεσβευτήν.

book 689a, col 2 τὸ “δεῦρο” δὲ ἴσθι, ὡς παρ’ Ὁμήρῳ καὶ πᾶσι τοῖς παλαιοῖς, καὶ τῷ Ἀριστοφάνει δὲ τουτωὶ ἀντὶ τοῦ “ἐνταῦθα” λαμβάνεται, παρὰ δὲ τοῖς νεωτέροις ἀντὶ τοῦ “ἐλθέ”, ὡς παρὰ τῷ νεωτέρῳ Μουσαίῳ. καὶ νῦν δὲ καὶ οὗτος ἀντὶ τοῦ “ἐλθέ” ⟦νῦν⟧ ἐχρήσατο, οὐκ οἶδα πῶς φάναι, δοκῶ δὲ κατ’ ἔλλειψιν ἀττικήν· δεῦρο δεῦρο Ἀμυνία, ἀντὶ τοῦ “ἐνταῦθα” ἐλλείψει τοῦ “ἐλθέ”. ὡς καὶ ἡμεῖς ποτέ φαμεν κοινοτέρως· ὡδὶ ὡδὶ ὦ ἀγαθέ, τὸ “ἐλθέ” παρεῶντες.

book 689b Ἀμυνίᾳ] τῇ γυνῇ.

book 690 ὡδί] οὕτως.

book 692, col 2 ὅστις] ὁ Ἀμυνίας.

book 693 ἀτὰρ] δέ.

book 694a οὐδὲν μὰ Δία: ὁ Σωκράτης· Στρεψιάδη, φησίν, οὐδέν, οὔ μὰ τὸν Δία, δράσεις ἑστώς, ἀλλὰ κατακλινεὶς καὶ κατακλιθείς, δευρὶ καὶ ἐνταῦθα, τί ποιήσω; φησὶ Στρεψιάδης. καὶ πάλιν ἀμείβεται ὁ Σωκράτης· φρόντισόν τι περὶ τῶν σεαυτοῦ πραγμάτων. ἀλλ’ εἰπόντες περὶ τοῦ “κατακλινείς”, ἵνα μὴ τῆς τῶν παλαιῶν λύμης μετάσχητε, χωρήσομεν ἐπὶ τοὔμπροσθεν. τὸ “κλιθείς” κοινόν, “κλινθείς” ἰωνικόν, “κλινείς” ἀττικόν.

book 694a, col 2 οὕτω γίνωσκέ μοι ταυτί.

book 694b οὐδέν] γινώσκεις.

book 694c κατακλινεὶς] ἀττικόν.

book 694d δευρί] ἐν τῷ ἀσκάντῃ.

book 695a τι] εἰς.

book 695b τῶν] ἀπό.

book 696a μὴ δῆθ' ἱκετεύω ς' ἐνθάδε: εἰρηκότος Στρεψιάδη Σωκράτους· οὐδὲν δράσεις ἑστώς, ἀλλὰ κατακλιθεὶς ἐν τῷ ἀσκάντη καὶ σκαμβόποδι θρόνῳ, φρόντισον περὶ πραγμάτων τῶν σῶν, πεισθεὶς ἐπέκλινεν ἑαυτὸν εἰς τὸ ἱδρυθῆναι. ἱδρυνθῆναι. εὐθέως δὲ μεστωθεὶς κόρεων δεῖται Σωκράτους, ὡς ἂν μὴ ἐν τῷ κοριῶντι σωκρατικῷ θρόνῳ, ἀλλ' ἐν τῇ γῇ καθήμενος φροντίσῃ. Σωκράτους δὲ οὐκ ἐῶντος, ἐν δὲ τῷ θρόνῳ φροντίζειν κελεύοντος δεινοπαθεῖ Στρεψιάδης καὶ σχετλιάζει ὡς ἤδη μέλλων ἀπολωλέναι ὑπὸ τῶν κόρεων. ὁ δὲ ἐφεστὼς αὐτῷ φησι· φρόντιζε καὶ διάθρει καὶ σκόπει τῷ νῷ, καὶ πάντα τρόπον σαυτὸν στρόβει καὶ μετακίνει, πυκνώσας ἐν νοήμασιν· ἀπορήσας δὲ νοήματός τινος εἰς ἄλλο νόημα μεταπήδα καὶ μετατρέπου, καὶ μὴ κάθευδε. ἐπιτεταμενώτερον δὲ τῶν

book 696a κόρεων ἐπιθεμένων καὶ κατεσθιόντων αὐτὸν σχετλιάζει καὶ βοᾷ μέγα· ἰατταταῖ, ἰατταταῖ. ἐρωτῶντος δὲ Σωκράτους· τί πάσχεις; ἀπόλλυμαι, φησίν· ἐκ τοῦ θρόνου σου ἐξέρποντες γὰρ καὶ ἐξερχόμενοι, δάκνουσί με οἱ Κορίνθιοι καὶ οἱ κόρεις, παίζων. ἔοικε δὲ καὶ τοῖς τότε καιροῖς τοὺς Κορινθίους ἐχθρῶς ἔχειν τοῖς Ἀθηναίοις.

book 696b ἐνταῦθ'] καθίσω.

book 696c χρή] καθίσαι.

book 698 ταῦτ'] ἅπερ σοι λέγω.

book 699 δίκην] τιμωρίαν.

book 700a φρόντιζε] ἐρεύνα.

book 700b ἄθρει] βλέπε.

book 702a στρόβει] καὶ διέγειρε.

book 702b πυκνώσας] ἐν τοῖς νοήμασιν

book 703a ταχὺς] ἔσο.

book 703b ἄπορον] νόημα δηλονότι.

book 705 ὀμμάτων] ἀπό.

book 706 706] ὑπὸ τῶν κόρεων δακνόμενος στενάζει.

book 710 710 p.i.m.] ἅμα μὲν παίζει καὶ πρὸς τὰς κόρεις λέγων τὸ "Κορίνθιοι", ἅμα δὲ καὶ ὅτι ἐπέκειντο τοῖς Ἀθηναίοις οἱ Κορίνθιοι πολεμοῦντες αὐτοὺς τῷ τότε.

book 711a καὶ τὰς πλευρὰς δαρδάπτουσι: καὶ κατεσθίουσιν. γίνεται δὲ τὸ δαρδάπτειν ἀπὸ τοῦ δεροδαπτεῖν καὶ ἐσθίειν τὸ δέρμα, ἢ ἀπὸ τοῦ δαίρειν καὶ τύπτειν καὶ δάπτειν καὶ κατεσθίειν.

book 711b δαρδάπτουσι] κατεσθίουσι.

book 712a καὶ τὴν ψυχὴν ἐκπίνουσιν: οἱ θνητὴν δοξάζοντες τὴν ψυχὴν αἷμα αὐτὴν οἴονται εἶναι, ὡς Μάρκος ὁ βασιλεὺς ἡμῖν ὑποδείκνυσιν ἐμφανῶς οὕτω γράφων· "τὸ δὲ ψυχάριόν ἐστιν ἀναθυμίασις ἀφ' αἵματος".

book 712b καὶ τὴν ψυχὴν ἐκπίνουσιν: ἤτοι τὸ αἷμα. οἱ γὰρ δοξάζοντες τὴν ψυχὴν θνητὴν ψυχὴν τὸ αἷμα λέγουσιν.

book 712c τὴν ψυχὴν] τὸ αἷμα· διασύρει τοὺς φιλοσόφους ὡς δοξάζοντας τὴν ψυχὴν αἷμα.

book 713 καὶ τοὺς ὄρχεις ἐξέλκουσιν: οἰκειότατα πάνυ ταῖς προτάσεσι τὰς ἀποδόσεις εἰσφέρει. καὶ προτάσεις μέν εἰσιν ἐνταυθοῖ τὰ προτεθέντα πράγματα, πλευρά, ψυχή, ὄρχεις, πρωκτός· ἀποδόσεις δὲ τὰ ἑκάστῳ τούτων συμβάντα, ἐκδαρῆναι μὲν καὶ καταβρωθῆναι πλευράς,

ποθῆναι δὲ τὴν ψυχήν—ἔφην γὰρ αὐτὴν αἷμα τοῖς τεθνηψύχοις δοξάζεσθαι—, ἕλκονται δὲ οἱ ὄρχεις, ὁ δὲ πρωκτὸς ἔχων ὀπὴν ἐξορύττεται.

book 713, col. 2 τοῦτο τὸ σχῆμα, ὡς ἔφην, ἀπόδοσις καλεῖται, ἀλλὰ καὶ ἀντίθετον καλεῖται. οὐχ οἷον ἐν ταῖς Εὑρέσεσί φησιν Ἑρμογένης παραληρῶν· "εἰ μὲν γὰρ μὴ ἦν ἡμέρα", ἀλλ' οἷον ἐν τῷ Περὶ μεθόδου δεινότητος ἀνανήψας φησίν· "ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων", οὕτω τὸ σχῆμα ἀπόδοσίς τε καὶ ἀντίθετον καλεῖται· ἀποδίδωσι γὰρ ἑκάστῳ τῶν προτεθέντων καί, ὥσπερ εἶπον, ἀντιτίθησι τὰ οἰκεῖα καὶ πρόσφορα. τὰ τοιαῦτα δὲ σχήματα ἀγωνιστικὰ καὶ δικανικώτατα.

book 714 διορύττουσι] κοιλαίνουσι.

book 716 μὴ νῦν βαρέως ἄλγει: σαφῆ τὰ πάντα. φροῦδα τὰ χρήματα: ἠφανισμένα τῇ ἱππικῇ τοῦ υἱοῦ, οὐ μὴν ὡς Σωκράτει δοθέντα. φρούδη χροιά: ὅτι καὶ αὐτὸς ὠχρὸς γέγονεν ὡς φιλόσοφος φροντίζων. φρούδη ψυχή: ἀφανισθήσεται ἡ ψυχή μου ὡς αἷμα ποθεῖσα τοῖς κόρεσιν. Σωκράτης δὲ ἀθάνατον ἐδόξαζε τὴν ψυχήν. φρούδη δ' ἐμβάς: ἀφανῆ τὰ ὑποδήματα γέγονεν ἀποβληθέντα αὐτῷ ἀφανισθέντα αὐτῷ ἤγουν ἀποβληθέντα τῷ ζοφερῷ δῆθεν τῷ τῆς σχολῆς.

book 717 ἀναπαιστικὸν μονόμετρον.

book 718 φροῦδα] ἀφανῆ.

book 718, col. 2 δίμετρον.

book 719a τὸ ὑπόδημα. τοῦτο εἶπεν ὡς ὅτι ἀπεδύετο τὰς ἐμβάδας εἰσερχόμενος εἰς τὸ φροντιστήριον.

book 719a, col. 2 ὅμοιον.

book 719b ψυχή] τὸ αἷμα.

book 720 δίμετρον ὑπερκατάληκτον.

book 721a φρουρᾶς ᾄδων: ἐπαγρυπνῶν καὶ λαλῶν ὡς οἱ ᾄδοντες ἐπὶ τῆς φρουρᾶς. φρουροὶ γὰρ καὶ φύλακες, ἵνα μὴ καθευδήσωσι καὶ λάθωσιν εἰσιόντες οἱ πολέμιοι, ᾄδουσιν.

book 721b παροιμία "ἐπὶ φρουρᾶς ᾄδειν"· εἰώθασι γὰρ οἱ καθήμενοι ἐπὶ φυλακῆς πρὸς παρηγορίαν λέγειν τι. ἢ ᾄδων ἐπὶ φρουρᾶς ὥσπερ οἱ βιγλάτορες.

book 721b, col. 2 μονόμετρον.

book 721c φρουρᾶς] ὡς ἐπί.

book 721d ᾄδων] ψάλλων.

book 722a ὀλίγου φροῦδος γεγένημαι: παραμικρὸν ἀφανὴς ἐγενόμην.

book 722b ὀλίγου] μικροῦ δεῖν.

book 722b, col. 2 δίμετρον καταληκτικόν.

book 722c φροῦδος] ἀφανής.

book 722d γεγένημαι] γενήσομαι.

book 723a τοῦ Σωκράτους δ' εἰπόντος; οὐ φροντίζεις; ὁ Στρεψιάδης· ἐγώ, φησί, νὴ τὸν Ποσειδῶνα, ἐφρόντισα. κἀκείνου πάλιν εἰπόντος· καὶ τί ἐφρόντισας; ὁ Στρεψιάδης λέγει· εἰ μέλος ἢ μέρος ἐμοῦ τι περιλειφθῇ μὴ καταβρωθὲν ὑπὸ τῶν κόρεων τῶν τοῦ θρόνου σου. καὶ πάλιν ὁ Σωκράτης ἀντὶ τοῦ "μαστιχθήσῃ δεινῶς"· ἀπολεῖ κάκιστα, εἶπεν. καὶ ὁ Στρεψιάδης δὲ πρὸς αὐτόν· οὐ ψεύδη ὦ 'γαθέ· ἀπόλωλα γὰρ ὑπὸ τῶν κόρεων. καὶ ὁ Σωκράτης· οὐ μαλθακιστέα, οὐ δεῖ χαυνότητος καὶ τρυφῆς, περικάλυψον δὲ σαυτὸν καὶ εὑρὲ διάνοιαν καὶ ἀπαιόλημα, συστροφὴν καὶ παραλογισμὸν ἀποστερητικὸν τῶν δανείων. ἀχθόμενος δὲ Στρεψιάδης τῷ μὴ εὑρίσκειν ἀποστερητικὴν γνώμην· οἴμοι, φησί, τίς ἀρνητικὴν καὶ στερητικὴν γνώμην ἐπιβάλῃ μοι ὡς ἱμάτιον ἐκ δορᾶς ἀρνῶν; καὶ πάλιν ὁ Σωκράτης δῆθεν περιδραμεῖν μέλλων καὶ τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαθητὰς ἐπισκέψασθαι ἐκ τούτου κατάρχεται καί φησι· τί καθεύδεις; ὁ δέ· οὔ, φησίν, οὔ μὰ τὸν Ἀπόλλωνα· τίς γὰρ δύναιτό κ’ εἰναλίῳ παρὰ κήτεϊ κοιμηθῆναι; τίς Σωκράτους δὲ τοῖς βεβήλοις σκαμνίοις;

book 723b οὗτος] ὦ.

book 723c ἐγώ] φροντίζω.

book 725 περιλειφθήσεται] ὅπερ οὐκ ἔφαγον.

book 726 ἀπολεῖ] ἀντὶ τοῦ “μαστιχθήσῃ”, τύψειν σε θέλω.

book 728a ἐξευρετέος] πορημώτατος.

book 728b ἀποστερητικὸς] τῶν δανείων.

book 729a κἀπαιόλημ’] συστροφήν.

book 729b κἀπαιόλημ’] πανούργημα.

book 729c κἀπαιόλημ’] ἔστι σοι.

book 729d ἐπιβάλοι] ἐπενδύσῃ.

book 730 ἀρνακὶς λέγεται τὸ τοῦ ἀρνὸς κῴδιον. ἀντὶ γοῦν τοῦ εἰπεῖν· σισύρας, εἶπεν· ἀρνακίδας, ὥστε ἀρνεῖσθαι καὶ ἀποστερεῖν τοὺς δανειστάς.

book 731a νῦν] δή.

book 731b ἀθρήσω] ἴδω.

book 732 οὗτος] ὦ.

book 733a ἔχεις τι: ἐφίσταται αὐτῷ πάλιν ὁ Σωκράτης καί φησιν· ἔχεις τι; ὡς ἐπὶ ἰχθυοθηρῶν ἢ ἰξευτῶν, ἀντὶ τοῦ “ἐνόησάς τι;” τροπικωτέρως εἰπών· ἐκράτησας. ὁ δὲ ὑπ’ ἀμηχανίας καὶ συννοίας τοῦ μὴ δύνασθαι ἀποστερητικὸν νόημα ἐνθυμηθῆναι παράγεται τῷ ἀλιτηρίῳ τὸ ἑαυτοῦ κατέχειν αἰδοῖον καὶ ἀκηκοὼς τὸ “ἔχεις τι;” εἶπεν· οὔ. ὡς δὲ πάλιν αὐτὸν ἤρετο· παντελῶς οὐδὲν ἔχεις; φησίν· οὐδέν γε πλὴν μόνον κατέχω τῇ δεξιᾷ χειρὶ τὸ αἰδοῖον.

book 733b ἔχεις τι] ἐνόησάς τι.

book 734 τὸ πέος] τὸν ὄρχιν.

book 735 οὐκ ἐγκαλυψάμενος: οὐ συστείλας καὶ ἀπασχολήσας σεαυτὸν τοῦ τῇδε κἀκεῖσε ὁρᾶν φροντίσεις ταχέως, ἀποστερητικόν τι νοῆσαι δηλονότι; μὴ εἰπόντος δὲ τοῦ Σωκράτους τὸ “ἀποστερητικόν τι νοῆσαι”, ἀλλὰ μόνον· οὐ φροντίσεις; Στρεψιάδης φησί· περὶ τίνος φροντίσω; σύ μοι εἰπὲ τοῦτο, Σώκρατες. οὐδὲν δυσχερές ἐστιν οὐδὲ τῷ παρόντι χωρίῳ. καὶ ὁ Σωκράτης πάλιν αὐτῷ· αὐτὸς ὅ τι βούλει πρῶτον ἐξευρεῖν λέγε. καὶ ὁ Στρεψιάδης· εἶπον, ὦ Σώκρατες, εἶπόν σοι μυριάκις, ὅτι βούλομαι μήτε τόκους ἀποδοῦναι οἷς χρεωστῶ, ἀλλὰ μηδὲ χρέα.

book 736 τοῦ] καὶ τίνος.

book 740a ἴθι νῦν καλύπτου: σύστελλε μὲν σεαυτὸν ἀπὸ τοῦ τῇδε κἀκεῖσε ὁρᾶν καὶ γενοῦ ἐν συννοίᾳ τοῦ περὶ οὗ σκοπεῖς. καὶ σχάσας, ἀλλαχοῦ μὲν κατασχών, νῦν δὲ λύσας, χαλάσας καὶ ἀφείς, τὴν φροντίδα καὶ τὸ νόημα, λεπτὸν περιφρόνει ἤτοι φρόνει καὶ σκόπει καὶ κρίνε καὶ νόει, τὰ πράγματα. καὶ ὁ Στρεψιάδης διὰ τὸ μηδὲν ῥᾳδίως δύνασθαι ἐφευρεῖν· οἴμοι, φησὶ σχετλιάζων. καὶ ὁ Σωκράτης· ἔχε καὶ φέρε, ἀτρέμα καὶ ἡσύχως, καὶ ἀπορῶν εἴς τι νόημα ἀφεὶς αὐτὸ ἄπελθε καὶ ἀποπήδησον, ἀπ’ αὐτοῦ· καὶ εἶτα κατὰ τὴν σὴν γνώμην καὶ διάνοιαν, κίνησον καὶ πείρασον καὶ ζήτησον, πάλιν αὐτὸ καὶ ζυγώθρισον καὶ ζυγοστάτησον αὐτὸ ταῖς τοῦ νοὸς πλάστιγξιν ἠκριβωμένως.

book 740b σχάσας] ἁπλώσας, πυκνώσας, κρατήσας.

book 741

περιφρόνει] περιεργάζου, σκόπει.

book 741a, col. 2 λεπτὴν] ἀκριβῆ.

book 741b, col. 2 περιφρόνει] ἐρεύνα.

book 743 ἔχ’ ἀτρέμα] φέρε ἥσυχος.

book 744 τὴν γνώμην] τὴν βουλήν.

book 745 ζυγώθρισον] στάθμησον, ζυγοστάτησον ταῖς τοῦ νοὸς πλάστιγξιν.

book 746 ὦ Σωκρατίδιον: πεποίηται τῷ ἀλιτηρίῳ ὁ Στρεψιάδης γελοίως νενοηκὼς νόημα χρεῶν καὶ τόκων ἀποστερητικὸν καὶ ἄνεισι χαίρων καί φησι τῷ Σωκράτει· ἔχω καὶ νενόηκα, γνώμην καὶ διανόημα, ἀποστερητικὸν τόκου. καὶ ὁ Σωκράτης· ἐπίδειξόν μοι καὶ εἰπὲ καὶ φανέρωσον, τὸ τί πρᾶγμά ἐστιν ἡ σὴ γνώμη καὶ τὸ ἐννόημα. καὶ ὁ Στρεψιάδης φησίν· εἰ ὠνησάμενος γυναῖκα φαρμακίδα ἐκ Θετταλίας γοήτων καὶ μάγων ἔργα ἐπιτελοῦσαν—αἱ Θετταλαὶ γὰρ τοιαῦται διεβάλλοντο εἶναι, ὡς οἱ Θετταλοὶ ἀνδραποδισταί—καθέλοιμι καὶ καταβιβάσαιμι, δι’ αὐτῆς τὴν σελήνην καὶ ἔχοιμι καὶ φυλάττοιμι, εἵρξας καὶ ἐγκλείσας καὶ ἐμβαλών, αὐτὴν ἐς λοφεῖον καὶ θήκην κατόπτρου, ὡς κάτοπτρον διὰ τὸ κατοπτροειδῆ τὴν σελήνην ὁλόκυκλον φαίνεσθαι. ταῦτα μὲν οὕτω. ῥητέον δ’ ὑμῖν καὶ ἅπερ αὐτὸς οὐκ οἶδα, οἱ δὲ πρὸ ἡμῶν ἐξηγηταὶ γράφουσιν. φασίν· ὅτι “οἱ Ἀττικοὶ τὴν Θετταλὴν βαρυτόνως Θεττάλην φασίν, ὡς Δαιδάλην.” καὶ τοῦτο δὲ οὐκ ἐμόν, ἀλλὰ

book 746 τούτων ἐστίν. “εἶναί” φασι “τοῦ Πυθαγόρου παίγνιον

book 746, col. 2 φασὶ δὲ καὶ “τοῦ Πυθαγόρου παίγνιον εἶναι

book 746 διὰ κατόπτρου τοιοῦτον· πληροσελήνου τῆς σελήνης οὔσης εἴ τις εἰς ἔσοπτρον ἐπιγράψειεν αἵματι ὅσα βούλοιτο, καὶ προειπὼν ἑτέρῳ, σταίη κατόπιν αὐτοῦ, δείκνυσι πρὸς τὴν σελήνην τὰ γράμματα, κἀκεῖνος πλησίον ἀτενίσας εἰς τὸν τῆς σελήνης κύκλον ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς τῇ σελήνῃ ἐγγεγραμμένα.” πάντα τὰ τῇδε, οἷα ἂν καὶ ὦσι, τῶν παλαιῶν εἰσιν αὐταῖς λέξεσιν. ἔπεισι δέ μοι διαπορεῖν καὶ θαυμάζειν, εἰ Πυθαγόρας αἵματι ἔγραψεν, ὃς καὶ κυάμων ἀπείχετο ὡς ὄντων γεννητικῶν αἵματος.

book 747a ἔχω] ἐνόησα.

book 747b γνώμην] νόημα.

book 748 τί] εὗρες.

book 750 καθέλοιμι] καταβιβάσω.

book 751a λοφεῖον: λοφεῖον λέγεται καὶ ἡ θήκη τῆς περικεφαλαίας καὶ ἡ θήκη τῶν κατόπτρων.

book 751b ταύτην] τὴν σελήνην.

book 751c λοφεῖον] θήκην κατόπτρου.

book 751d λοφεῖον] λοφία τὰ ἔχοντα τοὺς λόφους.

book 752 τηροίην] φυλάσσοιμι.

book 753a τί δῆτ’ ἂν ὠφελήσειέ σε: οὐδὲν ἐν τῇδε τῇ σελίδι ὑψήγορον καὶ δύσνουν ἐστίν, ἀλλὰ πάντα σαφῆ. ῥητέον δὲ τούτων τὸν νοῦν. τί δή σοι ὄφελος γένοιτο, φησὶν ὁ Σωκράτης, κατασχόντι καὶ κρύψαντι τὴν σελήνην ἐν θήκῃ κατόπτρου; καὶ ὁ Στρεψιάδης φησίν· ὅτι σελήνης μὴ ἀνατελλούσης μηδὲ φαινομένης οὐκ ἂν ἀποδοίην, οὐ χρέα, ἀλλ’ οὐδὲ τόκους· οἶδας γάρ, ὅτι κατὰ μῆνα τῆς σελήνης καὶ δανειζόμεθα καὶ τοὺς τόκους τοὺς τῶν δανείων ἀποτιννύομεν. καὶ ὁ Σωκράτης ἀρεσκόμενος τούτῳ τῷ νοήματι· εὖ γε, φησί, καὶ καλῶς, τοῦτο ἐσκόπησας. ἕτερον δέ σοι προβαλῶ καὶ πρόβλημα καὶ ζήτημα προθήσω καὶ ἐρωτήσω, δεξιὸν καὶ κάλλιστον. εἴ σοι γράφοιτο, εἰ κατὰ σοῦ γραφὴ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 753a κατηγορία δοθῇ καὶ λίβελλος, πεντετάλαντος ἀττικῶς, πεντατάλαντος δὲ κοινῶς, πῶς τοῦτον ἀφανίσειας ἤτοι μηδὲν λέγοντα καὶ ἄκυρον δείξειας, εἰπέ μοι. καὶ ὁ Στρεψιάδης φησίν· ἐρωτᾷς, ὅπως ἀφανίσω, ὅπως καὶ πῶς τοῦτο ποιήσω; οὐκ οἶδα· ἀτὰρ καὶ δή, ζητητέον καὶ σκοπητέον μοι. καὶ ἅμα συννοίᾳ κατασχεθέντος καὶ σκοπουμένου Σωκράτης φησὶ θαρσύνων αὐτόν· μὴ νῦν ἴλλε καὶ σύγκλειε καὶ σύσφιγγε, τὴν γνώμην καὶ τὴν διάνοιαν, περὶ σεαυτὸν ἤτοι μὴ δειλία, ἀλλ᾽ ἀποχάλα τὴν φροντίδα καὶ τὸ νόημα, εἰς τὸν ἀέρα, ὥσπερ οἱ παῖδες τὴν μηλολόνθην ἤτοι τὸν χρυσοκάνθαρον, δεσμοῦντες ἐκ τοῦ ποδὸς ἐν τῷ παίζειν ἀφιᾶσιν εἰς τὸν ἀέρα· ἤτοι μὴ δειλία καὶ περὶ σεαυτὸν σφίγγε τὸ νόημα, ἀλλ᾽ εὐθαρσῶς ἄλλο ἐπ᾽ ἄλλῳ προπέμπων νόημα λογίζου.

book 753a καὶ ὁ Στρεψιάδης σκοπήσας, ὡς, εἰ ὠνήσαιτο ὕαλον τὴν κρύσταλον καλουμένην, στὰς πρὸς τὸν ἥλιον καὶ τὴν ἐκείνου ἀκτῖνα δεξάμενος ἐν αὐτῇ οὕτως ἀνυπόπτως πυρπολήσει τὸν λίβελλον καὶ τὴν κατ᾽ αὐτοῦ πεντετάλαντον δίκην διαδρασκάσειεν, ἀνίσταται δῆθεν τεθαρρηκὼς καὶ τῷ διδασκάλῳ χαίρων φησίν· εὕρηκα, διδάσκαλε Σώκρατες, ἐπίνοιαν σοφωτάτην, ἐν ᾗ ῥᾳδίως ἀφανίσω τὴν πεντετάλαντον δίκην, ὥστε οὐδὲ σὺ αὐτός μοι ἀντιτείνεις, διδάσκαλε, λέγων αὐτὴν μὴ εἶναι σοφωτάτην ἐπίνοιαν. καὶ ἐρωτήσαντος Σωκράτους ἀμοιβαίως κομματικῶς τὴν περὶ τοῦ κρυστάλου ἣν εἶπον ὑπόθεσιν λέγουσιν.

book 753b ὅ τι] καὶ κατὰ τί.

book 755 τίη τί δή] διὰ τί.

book 756 δανείζεται] αὐξάνει.

book 757a εὖ γ᾽] τοῦ ἐνθυμήματος.

book 757b προβαλῶ] πρόβλημα καὶ ζήτημα παρεισάξω.

book 758a γράφοιτο] κατηγοροίη.

book 758b δίκη] κρίσις, τιμωρία.

book 761 εἴλλε (sic)] στρέφε, σύγκλειε, σύσφιγγε.

book 762 ἀποχάλα] ἔνδιδε.

book 762, col. 2 ἀποχάλα] δίδου.

book 763a λινόδετον] ὥσπερ ποιοῦσιν οἱ παῖδες.

book 763b μηλονόνθην (sic) p.i.fast.] χρυσοκάνθαρον· ἀπὸ τοῦ "μήλῳ ὁμοίαν ποιεῖν τὴν ὄνθον" ἤγουν τὴν κόπρον. ἢ ἀπὸ τοῦ μῆλον, ὅ ἐστι τὸ πρόβατον, καὶ τοῦ ὄνθη, ἡ κόπρος· ἡ ποιοῦσα τὰς τῶν προβάτων κόπρους σφαίρας.

book 765a ὁμολογῶ τὸ φανερῶ καὶ τὸ συναινῶ, ἀπὸ τοῦ ὁμοῦ λέγειν.

book 765b ὁμολογεῖν] συγκατατίθεσθαι, συναινεῖν.

book 766a φαρμακοπώλαις: φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες τά τε λυσιτελοῦντα καὶ τὰ θανάσιμα, τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς λίθους πιπράσκοντες φαρμακοπῶλαι ἐλέγοντο· οὐδεὶς γὰρ τῶν τοιούτων λίθων ὃς οὐκ ἔχει ξενωτέρας δυνάμεις.

book 766b, col. 2 τὴν λίθον] τὴν κρύσταλον.

book 768 ἀφ᾽ ἧς τὸ πῦρ ἅπτουσι: τὴν κρύσταλον λέγει, ἣ προσβαλλούσης ἀκτῖνος ἡλίου πρῶτα μὲν προπέμπει καπνόν. περὶ ταύτης Ὀρφεύς τε φησὶ καὶ τὰ πράγματα σαφέστερον δείκνυσιν.

book 769a τί δῆτ᾽ ἄν: ἐλλιπῶς ἀττικῶς φησιν ὁ Σωκράτης· τί δῆτ᾽ ἄν σοι λυσιτελὴς ἡ κρύσταλος γένοιτο; καὶ ὅς· ταύτῃ φλέξαιμι τὸν λίβελλον οὕτω· καὶ σχῆμα μέλλει δεικνύειν ἐκ τῶν ἀκτίνων ἀνάπτοντος κρύσταλον καὶ τὸν λίβελλον φλέγοντος.

book 769b ἔγωγε] ναί.

book 769c τί δῆτ’ ἄν] σοὶ λυσιτελὴς ἡ κρύσταλος.

book 770 δίκην] ἀπόφασιν.

book 771 ἀπωτέρω] ἐναντίον.

book 772 ἐκτήξαιμι] ἀφανίσαιμι.

book 773a σοφῶς γε, νὴ τὰς Χάριτας: τῷ μὲν φαινομένῳ ἀρεσθεὶς ὁ Σωκράτης δεικνύεται τῷ τοῦ Στρεψιάδου ἐπινοήματι καὶ ὄμνυσι τὰς Χάριτας, ὅτι σοφῶς τοῦτο τὸ νόημα ἐπενόησε τὸ τῆς τοῦ χάρτου τεφρώσεως· Χαρίτων γὰρ δῶρα καθέστηκε καὶ ἔργων σοφία καὶ νοημάτων καὶ λόγων καὶ ἐφευρέσεων. ἐσχηματισμένως δὲ καὶ τοῦ Σωκράτους καθάπτεται καὶ κωμῳδεῖ τοῦτον ὡς λιθοξόον. Σωφρονίσκου γὰρ λιθοξόου υἱὸς ὢν ὢν υἱὸς ὁ Σωκράτης καὶ τῆς λαξευτικῆς τῶν λίθων μετέσχηκε τέχνης καὶ ἀνδριάντας λιθίνους ἐλάξευε· καὶ ἀγάλματα δὲ τῶν τριῶν Χαρίτων εἰργάσατο, Πειθοῦς, Ἀγλαΐας, Θαλείας, ἃ ἦσαν ὄπισθεν ὄπισθε τῆς Ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. ἐγὼ δέ φημι·

book 773a ἔργον 〈δ’〉 οὐδὲν ὄνειδος, ἀεργίη δέ τ’ ὄνειδος.

book 773b οἴμοι, φησὶν ὁ Στρεψιάδης χαίρων, ὅτι διαγέγραπταί μοι καὶ ἐξεκόπη καὶ κατεφλέγη, χάρτης καὶ λίβελλος πεντεταλάντου μοι δίκης. καὶ τοῦτο δὲ ἀστεϊζόμενος πρὸς γέλωτα οὗτος γράφει τῶν φιλοσόφων μονονοὺ καὶ τοῦτο λέγων αὐτοῖς· ἆρα, ὦ μάταιοι, ἐκ τοῦ εἰδέναι ὑμᾶς διεντέρευμα ψύλλης ἢ κώνωπος ἢ περί τε ἀστραπῆς καὶ βροντῆς ψυχροφυσικεύεσθαι καὶ τοῦ εἰδέναι, ὡς ἡ κρύσταλος ὕελος ἀκτῖσιν ἡλίου βληθεῖσα προΐησι φλόγα, καὶ ἕτερα ἄττα τοιαῦτα, σχοίητε ἂν ἢ τροφῶν εὐπορίαν, εὐερμίαν, ὡς γραμματεῖς, ἰατροί, γεωμέτραι ἐκ τεχνῶν οἰκείων τρεφόμενοι, ἢ χρέα ἢ δίκην ἂν ἀποφύγοιτε, ὥσπερ πολλάκις δρῶσιν εὐγλωττοῦντες οἱ ῥήτορες;

book 773c οἴμ’ p.i.m.] οὐ θρηνητικὸν τὸ “οἴμοι”, 〈ἀλλ’〉 ἐκπληκτικόν.

book 774 διαγέγραπταί] ἠφάνισται, διακεχώρισται.

book 774,col. 2 διαγέγραπταί] ἀντὶ τοῦ κατέξεσται.

book 775 συνάρπασον] ἀπὸ μεταφορᾶς τῶν κυνῶν. ἐμπαίζει δὲ φιλοσόφους λέγοντας· ἅρπασον τὸ νόημα, θήρασαι.

book 776a ἀντιδικῶν: κατηγορῶν καὶ ἐναντιούμενος. τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδεικνύουσιν ἐπεβάλλετο χρηματικὴ ζημία, καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν, ὑπερήμερος ἀπεδίδου τετραπλοῦν, οἱ δὲ μὴ ἔχοντες τῖσαι καθείργνυντο εἰς τὸ δεσμωτήριον. πολλοὶ δὲ τοῦτο πεπόνθασι καὶ ὁ τοῦ ῥήτορος τοῦ Ἀριστογείτονος πατήρ.

book 776b ὅπως] πῶς.

book 776c ἀντιδικῶν] ἀντιδικάζων, κατηγορῶν δικαστικῶς.

book 777a μέλλων ὀφλήσειν μὴ παρόντων μαρτύρων: τὸ “μή” καθ’ ἡμᾶς περιττὸν ἀττικῶς, ὡς τὸ ἀλλ’ οὐδὲ νῦν σε μὴ παρόντ’ ἴδῃ πέλας. εἰ γὰρ μὴ παρῆσαν μάρτυρες, οὐ δυσχερὲς ἦν ἀποτρέψαι τὴν δίκην.

book 777b μὴ] περισσόν.

book 777c μὴ] παρέλκον.

book 778a φαυλότατα καὶ ῥᾷστα: συντόμως καὶ ῥᾳδίως, φησίν, ἀποστρέψω τοιαύτην δίκην, πρὸς τὸν ἐρωτήσαντα Σωκράτη ὁ Στρεψιάδης. εἰπόντος δὲ Σωκράτους· εἰπέ, πῶς ἀποστρέψῃς; ἕνεκα τοῦ γελοίου φησὶ χαριέντως· πρὸ μιᾶς δίκης τοῦ κληθῆναί με δικασθῆναι δραμὼν ταχέως καὶ σχοῖνον προσάψας μου τῷ τραχήλῳ ἀγχόνῃ ἐμαυτὸν παραδοίημι. καὶ ὁ Σωκράτης· οὐδὲν λέγεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς τὴν ὑπόθεσιν. καὶ οὗτος πρὸς αὐτὸν πάλιν· νὴ τοὺς θεοὺς ἔγωγε, φησί, λέγω, καὶ πάνυ κάλλιστα λέγω· οὐδεὶς γὰρ κατ᾽ ἐμοῦ τεθνηκότος κινήσει δίκην.

book 778b φαυλότατα] δύο σημαίνει τὸ φαῦλον, τὸ αἰσχρὸν καὶ τὸ βραχύ.

book 779 μιᾶς] ἡμέρας.

book 780a τὴν ἐμὴν] δίκην.

book 780b ἀπαγξαίμην] πνίξομαι.

book 782 δίκην] τιμωρίαν.

book 783a ὑθλεῖς: φλυαρεῖς, φησὶν ὁ Σωκράτης· ἄπερρε καὶ φθείρου καὶ (784) ἀπότρεχε· οὐκέτι διδαχθῇς παρ᾽ ἐμοῦ. ὁτιὴ τί: διὰ τί, ὦ ναὶ Σώκρατες, δίδαξον (785). ἀλλ᾽ εὐθὺς ἐπιλήθῃ ἐκείνων ὧν μεμάθηκας. ἐπεὶ εἰ μὴ ἐπιλήσμων εἶ, εἰπέ, τί νῦν ἐδιδάσκου. λέγει δὲ περὶ τῆς καρδόπου. καὶ αὐτίκα πρόεισι τέλειος βεστίτζης ὁ Στρεψιάδης παιδάριον γραμματικὸν ἐκμιμούμενος ἀποστηθίζον ἐπαγγελίαν τινὰ καὶ ἐπιλαθόμενόν τινων ῥήσεων καὶ δυσφοροῦν ἐπὶ (787) τῇ ἀνευρέσει αὐτῶν. καί φησι· φέρ᾽ ἴδω, τί ἦν; καὶ ὅσα ὁ δαιμόνιος δαιμονίως μιμούμενος λέγοντα τοῦτον παρεισάγει. παράγει.

book 783b ἄπερρ᾽] φθείρου.

book 784 Σώκρατες] δίδαξον.

book 787 787] λέγει περὶ τῆς καρδόπης.

book 789a οὐκ ... ἀποφθερεῖ] οὐκ ἀποδράμῃ.

book 789b ἀποφθερεῖ] ἀποφθερῇ.

book 790a ἐπιλησμότατον 〈...〉 γερόντιον: ἐπὶ τούτοις εἰσάγεται καὶ Σωκράτης δυσφορῶν ἐπὶ τῇ ἀφυΐᾳ τοῦ γέροντος, κἀκ τοῦ φροντιστηρίου αὐτὸν ἀπελαύνων. φησὶ γάρ· οὐκ ἐς κόρακας καὶ ἐρημίας καὶ χάη ἀποφθερῇ ἤτοι πόρρω γεγονὼς ἡμῶν τῆς σχολῆς ἀπορραγῇς τῶν τῇδε ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον. οὔτε δὲ βεστίτζης τις οὕτως ἂν αὐτὸς ἑαυτὸν ἐμιμήσατο οὔτε φιλοσοφίδιόν τι κομψολεξιφόρητον αὐτὸ ἑαυτό, ὡς προσφυέστατα οὗτος ὁ ἀλιτήριος ἀπομιμεῖται, ὃ ἂν θελήσῃ μιμεῖσθαι. ἐπιλησμότατον μὲν λέγεται ἀπὸ τοῦ “ἐπιλήσμη”, ἐπιλησμονέστατον δὲ ἀπὸ τοῦ “ἐπιλήσμων”.

book 790b σκαιότατον] ἀμαθέστατον.

book 791 οἴμοι: σχετλιάζει καὶ δεινοπαθεῖ τὸ γερόντιον ἐπὶ τῇ εἰς αὐτὸν δικαίᾳ καταμομφῇ τοῦ Σωκράτους, καί φησιν· οἴμοι, ὁ κακοδαίμων καὶ δυστυχής, τί πάθω; ἀπολωλέναι γὰρ μέλλω διὰ τὰ χρέα ἐξ ἄλλου ἄλλῳ τῶν δανειστῶν καθελκόμενος. τοῦτο δέ μοι συμβήσεται πάντως διὰ τὸ μὴ εὐφυᾶ με καὶ εὔγλωττον εἶναι. ἀλλ᾽ ὦ Νεφέλαι, συμβουλεύσατέ μοι τι χρηστόν. αἵ φασι πρὸς αὐτόν· εἰ ἔχεις υἱόν, ἀνθ᾽ αὑτοῦ μαθησόμενον τοῦτον ἄγε πρὸς Σωκράτην. ὁ δὲ Στρεψιάδης· ἔστι μοι, φησίν, υἱός, ὁ δέ· υἱός ἐστί μοι, ἀλλ᾽ οὐ θέλει μανθάνειν. καὶ αἱ Νεφέλαι δὲ αὖθις πρὸς Στρεψιάδη(ν)· σὺ δ᾽ ἐπιτρέπεις, παραχωρεῖς, ἐᾷς αὐτὸν μὴ μανθάνειν; καὶ ὁ Στρεψιάδης ἐλλειπτικῶς· ναί, φησίν, ἐῶ πτοούμενος,

book 791 μὴ παρακελευσάμενος μανθάνειν οὐ θέλοντι τυπτηθῶ παρ᾽ αὐτοῦ. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ ἤτοι εὔρωστος καὶ νεάζων ἐστίν. τὰ ἐλλειπτικὰ δὲ τῶν σχημάτων ἰδέας εἰσὶ συντομίας. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ, φησί, καὶ ἔστιν ἐκ γυναικῶν εὐπτέρων καὶ εὐγενῶν, τῶν ἀπὸ τῆς πλειστάκις ῥηθείσης Κοισύρας, ὑψηλῆς γυναικός, τὸ γένος καταγουσῶν. αἱ τροπικαὶ δὲ καὶ μεταφορικαὶ λέξεις τοῦ ὕψους εἰσὶ καὶ μεγέθους καὶ ἀξιώματος, ποτὲ δὲ καὶ τοῦ ἤθους, ἂν τοῦ ἤθους τῶν λεγόντων στοχάζοιντο καὶ προσφυέας τοῖς λέγουσι ταύτας εἰσφέρωσιν, ἐνίοτε μὲν φιλοσόφοις, ἄλλοις δὲ ἀλλαχοῦ, ὡς νῦν τῷ Στρεψιάδῃ ἡ λέξις ἡ τῶν εὐπτέρων. ἢ γὰρ ὡς μιμητὴς φιλοσόφων χρᾶται αὐτῇ τροπικῇ οὔσῃ καὶ ὑψηλῇ, ἢ ὡς ἀγρότης ἀπὸ φασιανῶν ἢ

ταώνων ὀρνέων λέγων αὐτὴν διὰ τὸ συνήθη καὶ γνώριμα τὰ ὄρνεα ταῦτα ὑπάρχειν ἀγρόταις, μονονοὺ λέγων (ἀντὶ τοῦ εἰπεῖν· εὐγενοῦς μητρός)· φασιανοπτέρου ἢ ταωνοπτέρου ἐστὶ καὶ καθελκουσῶν τὴν γένους σειρὰν ἐκ Κοισύρας.

book 792 γλωττοστροφεῖν] καὶ μνημονεύειν, ὧντινων ἔμαθον.

book 793 συμβουλεύσατε] μοι.

book 795 ἐκτεθραμμένος] ἀνατεθραμμένος.

book 799a ἐπιτρέπεις] ἐᾷς αὐτὸν μὴ μανθάνειν· ἢ ἐπιτρέπεις καὶ οὐκ ἀκούει σου.

book 799b εὐσωματεῖ ... σφριγᾷ] εὔρωστος καὶ νεάζων ἐστὶ καὶ ἀκμάζει.

book 800a εὐπτέρων] εὐγενῶν.

book 800b τῶν] τὸ γένος καταγουσῶν.

book 800c Κοισύρας] ὑψηλῆς γυναικός.

book 800d Κοισύρας] τῆς.

book 801a ἀτὰρ καὶ δή, μέτειμι αὐτόν, μετὰ αὐτὸν καὶ εἰς αὐτὸν εἶμι καὶ πορεύομαι. λείπει “καὶ παραινέσω μανθάνειν ἀντ’ ἐμοῦ”. ἢν δὲ μὴ θέλῃ, οὐκ ἔστιν ὡς οὐ διώξω αὐτὸν ἐκ τῆς οἰκίας. ἀλλ’ ὀλίγον χρόνον εἰσελθών, Σώκρατες, ἀνάμεινόν με καὶ ἄξω σοι αὐτόν. ταῦτα εἰπὼν ἄπεισι πρὸς τὸ τὸν υἱὸν ἀγαγεῖν.

book 801b ἀτὰρ] δέ.

book 801c μέτειμί] μετέρχομαι εἰς.

book 802 ἐξελῶ] ἐκβάλω.

book 803a 803] ταῦτα εἰπὼν ἄπεισι πρὸς τὸν υἱόν.

book 803b εἰσελθὼν] ὥστε.

book 804a αἱ Νεφέλαι δὲ Σωκράτει φασίν· ἆρα νοεῖς, ὡς ἕξεις δι’ ἡμᾶς νῦν ἀγαθά; ἕτοιμος γὰρ οὗτος πάντα ποιεῖν, ἃ λέγεις. σὺ δὲ ἀπολάψεις καὶ κερδήσεις, ἀπὸ ἀνδρὸς ἐκπεπληγμένου καί σε θαυμάζοντος, καὶ φανερῶς ἐπηρμένου καὶ ἀνεπτερωμένου εἰς σὸν σέβας καὶ τῆς σῆς στοργῆς ἐξεχομένου. ἀπολάψεις δὲ καὶ κερδήσεις ταχέως, γνοὺς καὶ νοήσας αὐτόν· δύνασαι γὰρ ὅτι πλεῖστον ἀντὶ τοῦ λίαν. ἢ ἀπολάψεις ταχέως ὅτι πλεῖστον· δύνασαι γάρ.

book 804b αἰσθάνει] γνωρίζεις. αἱ Νεφέλαι δὲ πρὸς τὸν Σωκράτην φασίν.

book 805a ἕξων] μέλλων λαβεῖν.

book 805b θεῶν] ἀπό.

book 809a ἀνδρὸς] ἀπό.

book 809b ἐκπεπληγμένου] καὶ σὲ θαυμάζοντος.

book 810 ἐπηρμένου p.i.m.] ἀνεπτερωμένου εἰς σὸν σέβας καὶ τῆς σῆς στοργῆς ἐξεχομένου.

book 811a ἀπολάψεις] κερδήσεις.

book 811b ὅτι πλεῖστον] λίαν.

book 812a φιλεῖ γάρ πως: φιλεῖ γὰρ καὶ φίλον ἥγηται, τὰ τοιαῦτα τρέπεσθαι εἰς ἕτερα ἢ ἑτέρᾳ καὶ ἑτέρως τρέπεσθαι. ὁ δὲ νοῦς τοιοῦτος, ὃν οὐκ ἐνόησαν οἱ παλαιοί· τὰ δὲ τοιαῦτα ἤτοι τὰ τῶν ἐρώντων καὶ ποθούντων ὁπωσδήποτε κινοῦνται καὶ μεταφέρονται εἰς τοὺς ἐρωμένους καὶ ὧν πόθον ἔχουσιν. ἕτεροι δὲ οἱ ἐρώμενοι καὶ ἕτεροι οἱ ἐρῶντες.

book 812b φιλεῖ] ἔθος ἔχει.

book 812c τὰ τοιαῦθ’] ἤθη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 813a ἕτερα] εἰς.

book 813b ἕτερα] ἄλλως.

book 814 οὔ τοι μὰ τὴν Ὀμίχλην: πεφθακὼς Στρεψιάδης ὁ βεστίτζης πρὸς τὴν οἰκίαν τὴν ἑαυτοῦ ὡς ἐκ Σωκράτους ἤδη μετατραπεὶς εἰς ἀσέβειαν ὄμνυσιν τῷ υἱῷ οὐκέτι κατὰ Διὸς ἢ ἑτέρου θεοῦ, ἀλλὰ κατὰ τῆς ὀμίχλης, ὥσπερ φιλόσοφος, λέγων· οὐκέτι μενεῖς ἐνταυθοῖ, οὔ μὰ τὴν Ὀμίχλην, ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας: ἀλλ' εἰσελθὼν εἰς τὴν αὐλὴν τοῦ πρὸς μητρός σοι θείου Μεγακλέους κατέσθιε τοὺς κίονας αὐτῆς, οὓς ἐκεῖνος μόνους καταλέλοιπε καταβεβρωκὼς ἅπαντα τἄλλα. καὶ ὁ υἱὸς ἀκηκοὼς θεὰν ξενωτέραν ὀμνυμένην τῷ πατρὶ νομίσας αὐτὸν παρανοεῖν ἐξεστηκότα τῶν φρενῶν· ὦ δαιμόνιε, φησίν, ὦ πάτερ δαίμοσιν ἀλιτηρίοις κατάσχετε, τί χρῆμα πάσχεις;

book 814 τίνα νόσον νοσεῖς; οὐκ εὖ φρονεῖς μὰ τὸν Δία τὸν ὀλύμπιον. καὶ ὁ βεστίτζης ὡς ἤδη φιλοσοφοδίδακτος γεγονὼς καὶ γνοὺς ἀπὸ φυσικῶν ⟦καὶ⟧ συλλογισμῶν καὶ ἀποδεικτικῶν λόγων Δία μὴ εἶναι—τέσσαρα γάρ εἰσι τῆς θυραίας φιλοσοφίας ταῦτα διδάγματα· ψεῦδος, τῦφος, πατραλοιότης, ἀσέβεια—· ἰδοὺ ἰδού, φησί, Δία ὀλύμπιον. λείπει τὸ "ὤμοσας".

book 815 ἐξηνάλωσε γὰρ καὶ αὐτὸς τὴν περιουσίαν αὐτοῦ καὶ ἀπέμειναν μόνοι οἱ κίονες.

book 816 δαιμόνιε] ἄθλιε.

book 818a τῆς μωρίας: καὶ τοῦτο ἐλλιπῶς ἀττικῶς· φεῦ τῆς μωρίας, τὸν Δία νομίζειν δηλονότι θεόν, ἢ ὅτι ἔτι βασιλεύει θεῶν.

book 818b Δί' ὀλύμπιον] λείπει ὀμνύεις.

book 818c τῆς μωρίας] φεῦ.

book 819a ὄντα σε τηλικουτονί: ἤτοι πεφθακότα σε πρὸς ἡλικίαν τελείου ἀνδρός. τί δέ, φησὶ Φειδιππίδης, διὰ τοῦτο ἐγέλασας ἐτεὸν καὶ ἀληθές, εἰπέ. ὅτι παιδάριον, φησίν, ὑπάρχεις καὶ φρονεῖς ἀρχαϊκά. οὐκ ἐπαινετῶς κατ' Αἰσχύλον τοῦτόν φησι γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φύσει, ἀλλ' οὕτω φησίν· ὅτι ὢν παιδάριον, νῦν νέος σφριγῶν καὶ ἀκμάζων, φρονεῖς ἀρχαϊκὰ καὶ μωρά· ἀρχαῖοι γὰρ οἱ μωροὶ ἐκαλοῦντο ἀπὸ τῶν ἐπὶ τοῦ Κρόνου ἐκείνων ἀρχαίων ἀπραγμόνων ἀνδρῶν. ὅμως ἐλθέ, ἵνα σοι φράσω πρᾶγμα, ὃ μαθὼν ἀνὴρ ἔσῃ ἤτοι στερρόνους καὶ ἔμφρων.

book 819b τὸν Δία] θεόν.

book 819c νομίζειν] τό.

book 819d νομίζειν] σε.

book 819e τηλικουτονί] τουτέστι μέγαν.

book 820a τί δὲ] εἰς.

book 820b ἐγέλασας] διέσυρας.

book 820c ἐτεόν] κατὰ ἀλήθειαν.

book 821 ἀρχαϊκά] μωρά.

book 822 εἰδῇς] γνωρίσῃς.

book 823 ἔσει] ὑπάρξῃ.

book 824a ὅπως δὲ τοῦτο μὴ διδάξῃς μηδένα: λείπει τὸ "ἐθέλω δέ", ὅπως τοῦτο μὴ διδάξῃς μηδένα, ἢ "οὕτω δέ σοι λέγω", ὅπως τοῦτο μὴ διδάξῃς μηδένα. ἀπομιμεῖται τὸ φθονερὸν καὶ οὗτος δῆθεν τῶν φιλοσόφων καὶ τὸν υἱὸν διδάσκει μηδενὶ ταῦτα λέγειν. ὁ δὲ υἱὸς Φειδιππίδης πλησίον στὰς τούτου· τί, φησί, πάτερ, ἰδοὺ ἐγώ. καὶ ὁ βεστίτζης Στρεψιάδης φιλοσόφως· ὁρᾷς, ὦ τέκνον, οἷον ἀγαθὸν τὸ μανθάνειν; οὐκ ἔστι, Φειδιππίδη, Ζεύς, ὁ Δῖνος δὲ καὶ τὸ ὀστρακοῦν ποτήριον, νῦν βασιλεύει τὸν Δία τῆς ἀρχῆς ἐξελάσας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 824b ὅπως] ὅρα.

book 824c τοῦτο] μαθών.

book 824d διδάξεις] διδάξῃς.

book 826a ἔγωγ'] ναί.

book 826b ὡς] ὅτι.

book 828 ἐξεληλακώς] ἀποδιώξας.

book 829a πρὸς ταῦτα σχετλιάζων Φειδιππίδης· αἰβοῖ, φησί, τί ληρεῖς, πάτερ; τίς ταυτὶ λέγει; καὶ ὁ Στρεψιάδης· Σωκράτης ὁ Μήλιος λέγει ταῦτα, καὶ Χαιρεφῶν, ὃς οἶδε τὰ ψυλλῶν ἴχνη, ἤτοι σοφοὶ ἄνδρες (εἰρωνικῶς) καὶ περὶ πάντων λεπτῶς φυσιολογοῦντες μέχρι καὶ αὐτῶν τῶν ἰχνῶν τῶν ψυλλῶν. Ἀθηναῖον δὲ ὄντα Σωκράτη(ν) τοιῶσδε Μήλιον λέγει· ὡς ἄθεον ἀπὸ Διαγόρου τοῦ Μηλίου, ὃς πρότερον θεοσεβὴς ὢν ἀποστερηθεὶς παρακαταθήκης ὑπό τινος ὀμωμοκότος θεοὺς καὶ δυσχερὲς μηδὲν πεπονθότος εἰς ἐσχάτην ἐτράπη ἀσέβειαν· ὃς καὶ εἰσελθὼν εἰς πανδοκεῖόν ποτε καὶ φακὸν ἕψειν μέλλων, ὡς ξύλα οὐχ εὕρισκε, ξύλινον ἀνδριάντα τοῦ Ἡρακλέος εὑρὼν ἀξίνῃ τοῦτον λεπτοτομήσας ἐλεπτοτόμησε καὶ ὑποκάτω εἰς τὸ κάτω τῆς χύτρας τῆς τοῦ φακοῦ εἰς τὸ πῦρ ἐμβαλών· δώδεκα, εἶπεν, ἄθλους, ὦ Ἥρακλες, ἐξετέλεσας, νῦν δὲ καὶ τρισκαιδέκατον ἐπιτέλεσον ἆθλον καὶ ἕψησον τὸν φακόν. δι' ὃν Ἀθηναῖοι τὴν Μῆλον πολέμῳ κατέσχον καὶ ψήφισμα ἔγραψαν ἐν στήλῃ λευκῇ· χαλκῇ· ὃς ἀνέλῃ Διαγόραν τὸν Μήλιον, λαμβανέτω ἀργυρίου τάλαντον, δύο δὲ τάλαντα ἀργυρίου, ὃς Ἀθηναίοις ἀγάγῃ

book 829a τουτονὶ ζῶντα. ηὐτέλιζε γὰρ καὶ τὰ τῆς Δήμητρος μυστήρια καὶ τούτων κατεγέλα πρὸς ἀμυήτους ἐκφέρων αὐτά. οὕτω Μήλιον νῦν τὸν Σωκράτην καλεῖ. ἐνταῦθα οἱ παλαιοὶ μακρηγοροῦντες λέγουσι μήλια μιλίων πολλῶν· ἢ ὅτι δασὺς ἦν ὁ Σωκράτης, ὡς τὰ μῆλα καὶ πρόβατα· ἢ ὅτι ἡμέρου τὰς ψυχάς, καὶ ἕτερα τοιαῦτα μυρία.

book 829b αἰβοῖ] φεῦ.

book 830a Ἀρισταγόρας ὁ Μήλιος ἄθεος ἦν. ἀντὶ γοῦν τοῦ εἰπεῖν· ἄθεος, Μήλιος λέγει.

book 830b Μήλιος] ἄθεος.

book 832 σὺ δ' εἰς τοσοῦτον 〈τῶν〉 μανιῶν ἐλήλυθας: σὺ δὲ εἰς τοσοῦτον, ὦ πάτερ, μανιῶν ἐλήλυθας, ὡς πείθεσθαι ἀνδράσι μελαγχολῶσι καὶ μαινομένοις; “μανιῶν” ἀντὶ τοῦ “τῆς μανίας” ἀττικῶς τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ. καὶ τὰ ἑνικὰ δὲ ἀντὶ πληθυντικῶν, ὡς τὸ “παίζει τὰ παιδία”,(.) τῶν Ἀττικῶν ἐστι. καὶ ὡς ἀμφότερα διαλέκτου εἰσὶν ἀττικῆς,

book 832,col.2 καὶ ὡς ἀμφότερα τῶν Ἀττικῶν εἰσι, καὶ ἀμφότερα ῥητορικῆς ἰδέας εἰσὶ μεγέθους καὶ ἀξιώματος· ἐνιαχοῦ δὲ καὶ ἤθους ἂν γένοιτο, εἰ τεχνικὸς ῥήτωρ ὁ γράφων ἐστὶ καὶ τεχνικῶς αὐτὰ μεθοδεύσειεν.

book 833a εὐστόμει, φησὶν ὁ Στρεψιάδης, καὶ μηδὲν εἴπῃς φλαῦρον καὶ φαῦλον καὶ βλάσφημον εἰς ἄνδρας δεξιοὺς καὶ σοφούς.

book 833b πείθει] καταπειθὴς γένῃ.

book 833c χολῶσιν] μαινομένοις.

book 833d εὐστόμει] καλῶς λέγε.

book 834a φλαῦρον] ἄτοπον.

book 834b ἄνδρας] εἰς.

book 835a

ὧν ὑπὸ τῆς φειδωλίας: ἕνεκα τοῦ γελοίου ταῦτά φησιν· ὧν οὐδεὶς ἀπὸ φειδωλίας οὔτε ἐκείρατο οὔτε ἐλαίῳ ἠλείψατο, οὔτε λουτροῖς προσωμίλησε, δέον εἰπεῖν· ὧν οὐδεὶς δι’ ἀρετὴν οὐδὲν τοιοῦτον ἐποίησεν. πεποίηκεν.

book 835b τῆς ταπεινώσεως· ὑπὸ τῆς εὐλαβείας ὤφειλεν εἰπεῖν.

book 835c νοῦν] φρόνησιν.

book 835d ὧν] ἀφ’.

book 835e φειδωλίας] φιλοσοφίας· παρ’ ὑπόνοιαν.

book 837 σὺ δὲ ὥσπερ τεθνεῶτος καταλούει μου τὸν βίον: σὺ δὲ ὥσπερ τεθνεῶτος ἐμοῦ ἐξαντλεῖς μου τὴν περιουσίαν εἰς λουτρὰ καὶ τρυφὰς καὶ δαπάνας ἑτέρας. εἰώθασι γὰρ οἱ πλείους τῶν νέων τεθνηκότων αὐτοῖς τῶν γονέων ἀναλίσκειν ἀσώτως τὰς περιουσίας τοιούτοις. ἢ ὅτι, καθά τινες ἀγνοοῦντές φασι, μετὰ τὴν ἐκφορὰν τοῦ νεκροῦ οἱ κατὰ τὴν οἰκίαν ἐλούοντο καθαρμοῦ χάριν· οὐ γὰρ ἐλούοντο, πρὸ τῶν θυρῶν δὲ χερνίβων ἑστώτων ἀποθριξάμενοι βραχύ τι τῆς κόμης τὰς χεῖρας ἀπένιζον, ὡς καὶ ἐν Ἀλκήστιδί πως Εὐριπίδης φησί· “χαίτας τ’ οὔτις ἐπὶ προθύροις τομαῖος βόστρυχος χέρνιβα θ’ ὡς νομίζεται”.

book 838a ἔθος γὰρ ἦν ἀποθανόντων τῶν γονέων καταναλίσκειν τὰ πράγματα τοὺς κληρονόμους τῷ λούεσθαι καὶ σπαταλᾶν. ἐδήλωσε δὲ ἐν ταὐτῷ δύο ἐννοίας.

book 838b καταλούει] ἐξαντλεῖς, καταναλίσκεις.

book 839 ὑπὲρ] ἀντί.

book 841 ἄληθες] εἰρωνεία.

book 842a γνώσει δὲ σαυτὸν: νοήσεις δὲ σαυτόν, ὦ Φειδιππίδη, ὡς εἰ ἀμαθής. ἀλλὰ καρτέρησον μικρὸν χρόνον. ταῦτα εἰπὼν ὁ Στρεψιάδης εἰς τὴν οἰκίαν ἀπέρχεται, εἰσέρχεται, ἵνα ἐξαγάγῃ ἀλεκτρυόνα καὶ ἀλεκτρύαιναν, καὶ δείξας ταῦτα ἐρωτήσῃ τὸν υἱὸν τὰς κλήσεις αὐτῶν, καὶ μὴ εἰπόντα αὐτὰς προσφυῶς τῷ ὄντι δείξῃ αὐτὸν ἀμαθῆ καὶ παχύν. εἰσερχομένου δὲ πρὸς τὴν οἰκίαν τοῦ γέροντος ἐκτὸς ὁ Φειδιππίδης ἑστὼς καὶ παραφρονεῖν τὸν πατέρα οἰόμενος· οἴμοι, φησί, τί δράσω; τοῖς σοροπηγοῖς εἴπω νεκροφόρον τούτῳ κατασκευάσαι γλωσσόκομον; ἔοικε γὰρ ἐπιθανατίου παραφροσύνης ῥήματα φθέγγεσθαι. ἢ παραφρονοῦντα μὲν τοῦτον, οὐκ ἐπιθανάτια δέ, ἑλκύσω πρὸς δικαστήριον καὶ νικήσω αὐτόν; τὸ παλαιὸν γὰρ κατὰ πατρὸς οὐκ ἐξῆν κινεῖν δικαστήριον,

book 842a εἰ μὴ παρὰ τῶν δικαστῶν ὁ κινῶν αἰτήσει συγγνώμην.

book 842a, col. 2 πλὴν παρανοίας μόνης.

book 842b παχύς] τὸν νοῦν δηλονότι.

book 845a παρανοίας] ἕνεκα.

book 845b εἰσαγαγὼν] εἰς δικαστήριον.

book 845c ἕλω] νικήσω, κρατήσω.

book 846 σοροπηγοῖ] νεκροθάπταις, τοῖς ποιοῦσι κιβώτια.

book 847 φέρ’ ἴδω, σὺ τουτονὶ τίνα νομίζεις: τοιαῦτα λέγοντος Φειδιππίδου ἐξέρχεται Στρεψιάδης χερσὶ κατέχων ἀλεκτρύαινάν τε καὶ ἀλέκτορα, καὶ δείξας πρότερον τὸν ἀλέκτορα ἐρωτᾷ, πῶς τοῦτον καλεῖ. καὶ εἰπόντος· ἀλέκτορα, καλῶς εἶπας, φησί, περὶ τούτου. εἰπόντος δὲ καὶ τὴν ἀλεκτορίδα ἀλέκτορα· καταγέλαστος εἶ, φησί, καὶ ἀμαθής· ἀλλὰ διδάχθητι παρ’ ἐμοῦ ἔκ γε τοῦ νῦν χρόνου ταύτην καλεῖν ἀλεκτρύαιναν, τουτονὶ δὲ ἀλέκτορα. τοῦ Φειδιππίδου δὲ εἰπόντος· ἀλεκτρύαιναν δεῖ με ταύτην καλεῖν; ταῦτα ἔμαθες τὰ δεξιὰ καὶ σοφά, παρὰ τοῖς γηγενέσιν ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς δίκην μυρμήκων ἐν καταγέοις κατωγέοις οὖσιν ἢ τοῖς ὠχροῖς καὶ νεκρόχρωσιν—ὅμοιοι γὰρ νεκροῖς οἱ περὶ Σωκράτη(ν)—ἢ τοῖς θεομάχοις, ὡς οἱ Γίγαντες;

book 853a ἤτοι θεομάχους· οἱ γὰρ Γίγαντες πόλεμον κατὰ θεῶν ἦραν.

book 853b γηγενεῖς] φιλοσόφως ζῶντας.

book 854a χ' ἅτερά γε πολλά: καὶ ἕτερα πολλά, φησὶ Στρεψιάδης, ἔμαθον, ἐπελανθανόμην δὲ τῷ γήρει. ὄντα δὲ αὐτὸν καὶ ἀνυπόδετον καὶ γυμνὸν ἰδὼν ὁ υἱὸς λέγει· διὰ ταῦτα, διὰ τὸ μαθεῖν δύο ἢ καὶ τρεῖς λέξεις ἀθλίας, ἀλέκτορα καὶ ἀλεκτρύαιναν, καὶ τὸ ἱμάτιόν σου ἀπώλεσας; ὁ δέ· οὐκ ἀπώλεσα, φησίν, ἀλλὰ καταπεφρόντικα καὶ τοῖς φροντισταῖς καὶ διδασκάλοις κατέλειψα.

book 854b γε] ναί.

book 854c μάθοιμ'] ἂν ἔμαθον.

book 856a διὰ ταῦτα] διὰ τὴν μάθησιν.

book 856b ἀπώλεσας] κατηνάλωσας.

book 857 καταπεφρόντικα] τοῖς φροντισταῖς κατέλειψα.

book 858a τὰς δ' ἐμβάδας καὶ τὰ ὑποδήματα, ποῖ τέτροφας, παρέτρεψας, ἀπέρριψας, καταλέλοιπας, ὦ ἀνόητε; καὶ ὁ Στρεψιάδης· ὥσπερ Περικλῆς εἰς τὸ δέον ἀνήλωσα. Περικλῆς ὁ Ἀθηναίων ῥήτωρ καὶ στρατηγὸς λογισμοὺς τῶν χρημάτων ἀπαιτούμενος, ὧν διῴκησε τήν τε χρυσῆν Ἀθηνᾶν διὰ Φειδίου πεποιηκὼς καὶ ὧν εἰς τὸν πόλεμον ἀνήλωσε, τῶν μὲν δέδωκεν ἔδωκεν ἀπολόγους· ἐπεὶ δὲ καὶ αὐτὸς πολλὰ ἐσφετερίσατο καὶ οὐκ ἠδύνατο ἢ οὐκ ἐβούλετο ταῦτα καταβαλεῖν, ἔγραψεν εἰς τὸ δέον ἀνηλωκέναι πεντήκοντα τάλαντα. ἔκτοτε δὲ ἐπὶ τῶν πράγματα καταβιβρωσκόντων καὶ μὴ εὐλόγους ἐχόντων αἰτίας εἰπεῖν παροιμία λέγεται τὸ "εἰς τὸ δέον ἀνηλωκέναι".

book 858b τέτροφας] κατέφαγες, ἔρριψας.

book 858b, col. 2 τέτροφας] ἔφαγες.

book 859a 859 p.i.m.] παροιμία "εἰς δέον ἀνήλωσα ν' τάλαντα".

book 859b εἰς τὸ δέον] εἰς τὸ διδασκαλεῖον.

book 859c ἀπώλεσα p.i.m.] ἠνάλωσα· παρ' ὑπόνοιαν ἀντὶ τοῦ "καταπεφρόνηκα ὑπὸ φιλοσοφίας, εἰς τοὺς φροντιστὰς ἠνάλωσα" λέγει.

book 860a ἀλλ' ἴθι: ἀλλ' ἐλθέ, βάδιζε, ὦ Φειδιππίδη, ἴωμεν παρὰ τὸ σωκρατικὸν φροντιστήριον. κακῶς φῇς λέγειν ἐμέ. πείσθητί μοι, πατρί σοι ὄντι, καὶ ἅμαρτε ἤτοι ποίησον τὸ ὃ ἐγώ σοι λέγω κακὸν καὶ πλημμελὲς καὶ ἐπταισμένον.

book 860b ἴωμεν] εἰσίωμεν.

book 861a κἀγώ τοι ποτέ: κἀγὼ οἶδα καὶ γινώσκω, ὅτι ποτὲ ἥμαρτον πειθόμενός σοι ἑξαετεῖ ὄντι καὶ ἤδη τὴν βρεφικὴν ἡλικίαν παρατρέχοντι, καὶ τραυλίσαντι καὶ ὑποψέλλως καὶ παιδαριωδῶς αἰτοῦντι ὃν πρῶτον ἔλαβον ὀβολὸν ἡλιαστικὸν ἐκ τοῦ τῆς ἡλιαίας δικαστηρίου. τριώβολον γὰρ ἐν ὁδῷ δικαστηρίου τῷ δικαστηρίῳ ἑστῶτες οἱ γέροντες ἐλάμβανον. διὰ τούτου τοῦ ὀβολοῦ ἤτοι δοὺς αὐτόν, ὠνησάμην σοι ἁμαξίδα ἐκ τῆς πανηγύρεως τῆς ἐν τοῖς Διασίοις, τῇ ἑορτῇ τοῦ Διός, γινομένης. καὶ ἁμαξίδα τινὲς λέγουσιν εἶδος εἶναι πλακοῦντος, οἱ δέ, οἷς κἀγὼ συντίθεμαι, τὸ μικρὸν ἁμαξίδιον, ὃ Ῥωμαίοις καροῦχα καλεῖται.

book 861b ἐξάμαρτε] ἔξω ἁμαρτίας γίνου.

book 861c τοι] δήτοι.

book 862a ἑξέτει] καὶ ἓξ ἐτῶν ὄντι.

book 862b

τραυλίσαντι] παιδαριωδῶς αἰτοῦντι.

book 863 ἡλιαστικόν] δικαστήριον τῶν Ἀθηνῶν ἡ ἡλιαία.

book 864a τούτου] διά.

book 864b πριάμην (sic)] ἐπριάμην.

book 864c Διασίοις] ἐν τῇ ἑορτῇ τοῦ Διός.

book 864d ἁμαξίδα] καροῦχαν καὶ εἶδος πλακοῦντος.

book 865a ἦ μὴν σὺ: πείθεται τῷ πατρὶ Φειδιππίδης ἀπελθεῖν, προαναφωνεῖ δὲ τῷ πατρὶ τὰ συμβησόμενα.

book 865b ἦ μὴν] προαναφώνησις.

book 865c ἀχθέσει] λυπηθῇς.

book 866a εὖ γ' ὅτι ἐπείσθης: ἐπαινεῖ τὸν υἱὸν ὁ Στρεψιάδης αὐτῷ πεπεισμένον, καὶ ἀπαγαγὼν τοῦτον εἰς τὸ σωκρατικὸν φροντιστήριον περιχαρῶς καλεῖ τῷ Σωκράτει· τὸν Σωκράτη· δεῦρο, δεῦρο καὶ ἐνταῦθα ἔξελθε, Σώκρατες, λέγων· ἀναπείσας γὰρ αὐτὸν ἤγουν τὸν υἱὸν τὸν υἱὸν ἤγαγον. καὶ ὁ Σωκράτης ἰδὼν Φειδιππίδην ὑψηλολεκτῶν πρὸς κατάπληξιν λέγει· ἔτι νηπύτιος καὶ νήπιος, ἐστὶ καὶ οὐ τρίβων καὶ ἀτριβής, τῶν ἐνθάδε κρεμαθρῶν.

book 866b εὖ γ'] εὖ σοι γένοιτο.

book 866c δεῦρο ... Σώκρατες] παρεπιγραφή.

book 868a, col. 2 νηπύτιος: ἄφρων, ἀνόητος· παρὰ τὸ "νη" στερητικὸν καὶ τὸ "πινυτόν" γέγονε "νηπινύτιος" καὶ συγκοπῇ τοῦ ἰῶτα καὶ ν "νηπύτιος"·

book 868b πῶς δὲ ἔτι νήπιος εἶναι λέγεται, ὃν προεῖπεν ἱππέα εἶναι καὶ διφρευτὴν ὁ ἀλιτήριος οὗτος; βαθύς ἐστι καὶ δεινῶς περιδέξιος καὶ δυσχερῶς καὶ μόλις καὶ Τζέτζῃ χειρούμενος. νηπύτιον δὲ καὶ νήπιον τοῦτον ἐνταῦθα καλεῖ ἐνταῦθα καλεῖ τοῦτον οὐχὶ βρεφώδη τῇ ἡλικίᾳ, ὡς δῆθεν δὲ ἄφρονα. τὸ "νήπιος" γάρ, ὥσπερ τὸ "πέπων" καὶ τὸ "δαιμόνιος" καὶ "ἀντίθεος" σὺν πολλοῖς πόσοις ἑτέροις λέξις τῶν μέσων ἐστί, καὶ ὁτὲ μὲν νήπιος λέγεται ὁ νεαροῦ ἡλικίαν ἔχων παιδός, παρὰ τὸ νοῦν καὶ φρένας ἤπιον ἔχειν—πρᾳότατα γὰρ τὰ βρεφώδη παιδάρια—, ὁτὲ δὲ νήπιος ὁ ἄφρων ὡς νοῦ ἄπο ἰὼν καὶ

book 868b πορευόμενος.

book 868b, col. 2 ὡς νοῦ ἄπο ἰὼν καὶ πορευόμενος, ἤγουν ὁ ἄφρων.

book 868c ἄκοντ'] μὴ βουλόμενον.

book 868d νηπύτιος] μικρός.

book 868e νηπύτιος ... ἔτι] κατὰ φρόνησιν· πινυτὸν γὰρ ἔλεγον τὸν φρόνιμον.

book 869a τῶν κρεμαθρῶν] τῶν διαγωγῶν.

book 869b τρίβων] ἐντριβής, ἔμπειρος.

book 870a ἀλλὰ σὺ αὐτός: πρὸς τὸ "οὐ τρίβων" Φειδιππίδης φησὶ πρὸς Σωκράτην· ἀλλ' αὐτὸς καὶ σύ, ὦ Σώκρατες, τρίβων καὶ ἔμπειρος ἂν εἴης τῶν κρεμαθρῶν, εἰ οὕτω κρέμαιό γε καὶ συντριβείης ἂν οὕτω κρεμάμενος. καὶ ὁ Στρεψιάδης ἐπιτιμᾷ τῷ υἱῷ καί· οὐκ ἐς κόρακας, φησί, καὶ διαφθορὰν γενήσῃ καὶ χάος; καταρᾷ τῷ διδασκάλῳ, ἤτοι ἀνταίρῃ καὶ ἀντιλέγεις αὐτῷ;

book 870b τρίβων] ἔμπειρος.

book 870c τρίβων] τετριμμένος ὡσανεὶ ἐκ τῶν κρεμαθρῶν.

book 872a ἰδοὺ κρέμαιό γε: διασύρει Σωκράτης δῆθεν τὸ τοῦ "κρέμαιο" ἐκφώνημα Φειδιππίδου, ὅτι μὴ λαμυρὰν εἶχεν ἐκφώνησιν κορακίζουσάν τε καὶ ὑποστομφάζουσαν, ἀνειμένοις δὲ καὶ διερρυηκόσιν καὶ χαύνοις ἐλέχθη τοῖς χείλεσιν. καὶ ἀπομιμούμενος καὶ αὐτὸς τὴν τοιαύτην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκφώνησίν φησι· πῶς ἂν ὁ οὕτως ἠνεῳγμένῳ τῷ στόματι καὶ χαυνοχειλῶς χαυνοχείλως τὴν προφορὰν τοῦ λόγου ποιούμενος μάθοι ἄν ποτε ἀπόφευξιν δίκης ἤτοι συλλογισμοῖς ἢ παραλογισμοῖς καὶ πιθανολογίαις ἀποσοβῆσαι καὶ ἀποκρούσασθαι τὸν ἀντίδικον;

book 872b ὡς] λίαν.

book 873 διερρυηκόσιν] ἠνεῳγμένοις.

book 874 ἀπόφευξιν δίκης] ἀποφυγὴν καταδίκης.

book 875a ἢ κλῆσιν ἢ χαύνωσιν ἀναπειστηρίαν: κλῆσιν μὴ νόει τὴν μαρτυρίαν, ἀλλά· πῶς ἂν γνοίη ὁ τοιόσδε, φησί, τὸ ἢ τό, ἢ κλῆσιν δίκης, ὡς ἡ μὲν στοχασμός ἐστιν, ἡ δὲ ὅρος ἢ οἱαδήτις στάσις ἑτέρα;

book 875b χαύνωσιν ἀναπειστηρίαν: χαυνοῦν καὶ ἀποστομίζειν πιθανολογίαις, ὡς ἔφην, τὸν ἀντιλέγοντα. ἰστέον δέ, ὡς κἀν ταῖς λέξεσι ταύταις ὁ ἀλιτήριος, ὡς καὶ τοῖς λοιποῖς ἅπασιν, ἁπλῶς μὲν καθόλου φιλόσοφον ἀρίστως ἀπεμιμήσατο, τοῦ σωκρατικοῦ δὲ ἤθους πολὺ διημάρτηκεν. Σωκράτης γὰρ καὶ ἠριθμημένοι τινὲς φιλόσοφοι ἕτεροι, ὡς καὶ ὕστερον ὁ Πλωτῖνος, οὐ συμπεφορημέναις καὶ ἀνθηραῖς καὶ διηρμέναις ὁμιλοῦντες ἐχρῶντο ταῖς λέξεσιν, ἀλλὰ πάνυ πεζαῖς καὶ κοιναῖς καὶ ἀγυρτίσι ἀγυρτρίσι καὶ ἰδιώτισιν.

book 875c κλῆσιν στάσεως, ἢ ἀντίληψιν ἢ μετάστασιν ἢ ἄλλην ἀπὸ τῶν δεκατριῶν στάσεων.

book 875d κλῆσιν ὀνομασίαν δίκης. πολλὰ γὰρ τὰ τῶν δικῶν ὀνόματα, ὡς τὰ τῶν στάσεων. χαυνοῦν δὲ καὶ ἀναπείθειν τοὺς ἀντιδίκους. καὶ τὸν Ὑπέρβολον δὲ διασύρει.

book 875e κλῆσιν] μαρτυρίαν ἢ ὅρον.

book 875f χαύνωσιν] λύσιν τοῖς ὅρκοις.

book 875g ἀναπειστηρίαν] ἀναπείθουσαν.

book 876a καίτοι ταλάντου τοῦτ᾽ ἔμαθεν Ὑπέρβολος: οὐχ ὡς σοφὸν νῦν καὶ πιθανὸν σοφίᾳ παρεισφρεῖ τὸν Ὑπέρβολον, ἀλλὰ κωμῳδῶν ἐκεῖνον ὥς τινας ἄκοντας πείθοντα χρήματα τούτῳ διδόναι.

book 876b ταλάντου] διά.

book 876c 876] διασύρει τὸν Ὑπέρβολον.

book 877a ἀμέλει δίδασκε: τὸ “ἀμέλει” περισσῶς καὶ παρολκή. δίδασκε, φησί, μὴ πρὸς τὸ χαῦνον τῆς τούτου φωνῆς ἀπιδών· θυμόσοφος γάρ ἐστι φύσει καὶ ἐκ φύσεως ἔχει σοφίαν, νῦν ἐπιτηδειότητα. καὶ εὐθὺς καταλέγει ἃ Φειδιππίδης κατεσκεύαζε παιδάριον ὄν.

book 877b παρέλκον· ἀφροντίστει.

book 877c ἐκ φύσεως δέχεται τὰ μαθήματα, ἐκ φύσεως ἔχει τὴν σοφίαν, οὐκ ἐκ διδαχῆς.

book 878 τυννουτοΐ: σμικρότατον τοιοῦτον· συσφίγξας τοὺς τῆς χειρὸς δακτύλους ὑποδείκνυσιν.

book 879, cod. 2 ἔπλαττεν ... οἰκίας] ἀντὶ τοῦ “οἰκίας ἐποίει”.

book 881a κἀκ τῶν σιδίων: σίδια τὰ λέπυρα καὶ ἔλυτρα καὶ καλύμματα τῶν ῥοιῶν. σιδίων δ᾽ οὐκ οἶδα τὸ “σι” πῶς βραχὺ οὕτως ἐδέξατο. τὸ “πῶς δοκεῖς” θαυμαστικὸν τῆς εὐφυΐας τοῦ Φειδιππίδου.

book 881b σίδιον ὁ τοῦ καρποῦ τῆς ῥοιᾶς φλοιός.

book 881c σιδίων] φλοιῶν τοῦ ῥοϊδίου.

book 881d πῶς δοκεῖς] θαυμαστικόν· σκόπει, πῶς δὴ δοκεῖς.

book 882a ὅπως δ᾽ ἐκείνω καὶ ἐκείνους τοὺς λόγους, νομίζεις, μαθήσεται, τὸν κρείττονα καὶ τὸν ἥττονα. καὶ ὁ Σωκράτης πρὸς ταῦτα· αὐτὸς ὁ Φειδιππίδης, φησί, μαθήσεται παρ᾽ αὐτοῖν τοῖν λόγοιν ἤτοι ἀκούσας ἀμφοτέρων αὐτῶν ἀντιλεγόντων.

book 882b τὼ λόγω] τοὺς λόγους.

book 885 ἐὰν δὲ μή] εἰ μὴ μάθῃ τὸν δίκαιον.

book 886 αὐτὸς μαθήσεται: τοὺς παρόντας τρεῖς στίχους τινές φασι πάντας τὸν Σωκράτην λέγειν. ἀμέλει καὶ τὸ "μέμνησο" ἐσχηματισμένον πρὸς τὸν Στρεψιάδην, ὅτι ποτὲ μαθὼν ὁ υἱός σου καὶ ἀντιλέγων τυπτήσει σε.

book 887a ἐγὼ δ' ἀπέσομαι: καὶ πόρρω ἐσοίμην τοῦ διδάσκειν αὐτὸν ἀρκούντων τῶν λόγων αὐτῶν διδασκάλων αὐτῷ γεγονέναι. τοῦτο γοῦν μέμνησο, ὅπως καὶ ὅτι, πρὸς πᾶν δίκαιον ἀντιλέγειν δυνήσεται. τοῦτο ἔστιν ἐσχηματισμένη προκατάστασις· προκαθιστᾷ γὰρ καὶ προλέγει Στρεψιάδῃ· ὅτι πρόσσχες, ὦ Στρεψίαδες, Στρεψιάδη, ἐπιθυμητὰ ἀδικίας, μὴ καὶ πρὸς σέ ποτε ἀντιλέγων ὁ υἱὸς τυπτήσῃ σε. καὶ εὐθὺς ἐκ τῆς ἠθοποιΐας, ἐν ᾗ μεμίμηται Σωκράτην, Στρεψιάδην καὶ Φειδιππίδην, εἰσέβαλεν εἰς προσωποποιΐαν καὶ ὡς πρόσωπά τινα τοὺς δύο λόγους εἰσάγει ἀντιλέγοντας ἀλλήλοις. δίκην δὲ περδίκων οἱ λόγοι προκείμενοι τῆς σκηνῆς μέσον ἐν οἰκιδίοις πλεκτοῖς ἀντιλέγουσιν ἀλλήλοις. τοῦ δὲ

book 887a χοροῦ τὸ πρόσωπον ἐκλέλοιπεν, ἐπιγραφὴ δὲ φέρεται χοροῦ.

book 887b ἀπέσομαι] ἀπέρχομαι. προκατάστασις· ἔμελλε καὶ ὕστερον τυπτῆσαι τὸν πατέρα ὁ Φειδιππίδης.

book 888 ἐπιγραφὴ δ' ἐνταῦθα φέρεται χοροῦ· ἐκλέλοιπε μέντοι.

book 891a ἴθι ὅποι χρῄζεις: τῶν παλαιῶν τοῦτ', οὐκ ἐμόν· "ἐκ Τηλέφου Εὐριπίδου ἴθι ὅποι χρῄζεις, οὐκ ἀπολοῦμαι τῆς σῆς Ἑλένης οὕνεκα."

book 891b τοῦτο ἐκ τοῦ Τηλέφου Εὐριπίδου· ἴθ' ὅποι χρῄζεις, οὐκ ἀπολοῦμαι τῆς σῆς Ἑλένης οὕνεκα.

book 891c ἴθ'] πρὸς τὸν δίκαιον.

book 891d πολὺ] κατά.

book 892a τοῖς πολλοῖσι] θεαταῖς χυδαίοις.

book 892b ἀπολῶ] ἐγώ.

book 895, col. 2 σοφὸν] δίκαιον.

book 896a γνώμας καινὰς ἐφευρίσκων καὶ ἐνθυμήματα καινότερα νικῶ σε. καὶ ὁ δίκαιος πρὸς ταῦτα· ταῦτα γάρ, ἤτοι αἱ εὑρεσιλογίαι αἱ κεναί καιναί τε καὶ καιναί, κεναί, ἀνθοῦσι καὶ πληθύνουσι, πλήθουσι, διὰ τουτουσὶ τοὺς ἀνοήτους. καπήλους τινὰς καὶ χυδαῖον δῆμον ὑποδεικνὺς "διὰ τούτους" φησὶ "τοὺς ἀνοήτους", οὐ μὴν δὲ ἅπαντας Ἀθηναίους ὡς παραβάτας ὄντας τοῦ δικαίου, ὥς τινες ᾠήθησαν, καὶ διὰ τοῦτο ἐνόμισαν καὶ μωροὺς αὐτοὺς λέγειν.

book 896b γνώμας] ὑπολήψεις.

book 897a ταῦτα] αἱ καιναὶ γνῶμαι.

book 897b γὰρ] ναί.

book 897c διὰ ... ἀνοήτους] διασύρει τοὺς ἀνοήτους Ἀθηναίους.

book 901a ἀναστρέψω] γρ. ἀντιστρέψω.

book 901b ἀναστρέψω] ἀφανίσω.

book 902a οὐδὲ γὰρ εἶναι πάνυ φημὶ δίκην: ἤτοι δίκαιον.

book 902b δίκην] δικαιοσύνην, δίκαιον.

book 902b, col. 2 δίκην] δίκαιον.

book 903a δίκαια] εἶναι.

book 903b πoὔστιν] τὸ δίκαιον.

book 904 παρὰ ... θεοῖς] ἐπιχείρημα ἀπὸ τοῦ μείζονος.

book 905a

ἀπόλωλεν] ἐφθάρη.

book 905b τὸν πατέρ’] τὸν Κρόνον.

book 906 δήσας: ὅτι παιδοκτόνος ὁ Κρόνος καὶ Οὐρανοῦ τοῦ σφοῦ πατρὸς τὰ παιδογόνα ἐξέτεμεν.

book 907a λέβητα, χέρνιβα, ἵνα ἐμέσῃ τεταραγμένος τῶν λόγων τῇ ναυτίᾳ.

book 907b ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρολογίας τοῦτό φησιν.

book 907c χωρεῖ] χώραν καὶ ὁρμὴν ἔχει.

book 907d λεκάνην] ἵνα ἐμέσω.

book 908a τυφογέρων: ἀλαζὼν ὑπάρχεις καὶ ἀνάρμοστος, ἄρρυθμος, οὐκ εὐπερίστροφος.

book 908b γρ. κουφογέρων.

book 908c τυφογέρων] ἀλαζών.

book 908d κἀνάρμοστος] μωρός.

book 909a καταπύγων: αἰσχρός. ῥόδα μ’ εἴρηκας: τοῖς αἰσχροῖς γὰρ αἱ ὕβρεις ῥόδα δοκοῦσιν.

book 909b καταπύγων] πόρνος καὶ αἰσχρός.

book 910a βωμολόχος: λάλος, φλύαρος· ἀπὸ τῶν παίδων τῶν τοῖς βωμοῖς ἐκ τῶν σχολῶν δραπετευόντων, ἵνα ἐκ τῶν θυσιῶν τι λαμβάνοντες τρέφοιντο. ἢ ἀπὸ τῶν ὀρνέων τῶν ἐν βωμοῖς διαγόντων καὶ θορυβούντων.

book 910b βωμολόχος ἐκαλεῖτο παρὰ τοῖς παλαιοῖς ὁ ἐκ τοῦ ναοῦ ἀφαιρῶν τι, νῦν δὲ βωμολόχον καλοῦμεν τὸν παραφράζοντα τὰ ἱερὰ λόγια καὶ ἐν αἰσχρῷ τιθέμενον.

book 910c βωμολόχος] κακοῦργος, ἱερόσυλος.

book 911a κρίνεσιν: ἀπὸ εὐθείας εἶπε νῦν τῆς μὴ λεγούσης τὸ κρίνον, ἀλλὰ τὸ κρίνος.

book 911b μεταπλασμὸς τὸ “κρίνεσι”· “κρίνοις” γὰρ ἔδει.

book 911c κρίνεσι] ἡ εὐθεῖα· τὸ κρῖνος, ὡς τὸ τεῖχος.

book 911d στεφανοῖς] ἐμέ.

book 912 πάττων] ποικίλλων.

book 913a μολίβδῳ καὶ ἀτιμίᾳ ὡς νυνὶ μᾶλλον τῶν κακῶν ἀνθούντων.

book 913b πρὸ τοῦ γ’] ἔπαττον ἐν χρυσῷ.

book 913c μολίβδῳ] ἐν.

book 913d μολίβδῳ] καὶ ἀτιμίᾳ.

book 914 τοῦτ’] τὸ πάττειν μολίβδῳ.

book 915a πολλοῦ] πάνυ, κατὰ πολύ.

book 915b ἀρχαῖος] μωρός.

book 916a διὰ σὲ φοιτᾶν: διὰ τὴν διὰ σὲ κρατήσασαν τῶν κακῶν φαύλην συνήθειαν οὐδεὶς ἐθέλει φοιτᾶν ἐς τὰ χρήσιμα μαθήματα. “οὐδὲν” δὲ “τῶν μειρακίων” ὀφείλων εἰπεῖν “οὐδεὶς τῶν μειρακίων” ἀττικῶς πρὸς τὸ σημαινόμενον εἶπεν, ἤτοι οὐδεὶς τῶν νεωτέρων· οἱ νεώτεροι γὰρ μειράκια. τοῖς δὲ μὴ εἰδόσι τοῦ γαληνοῦ καὶ ἀκαλαρρείτου ποταμοῦ τούτου τὰ βάθη βάρβαρον ἂν νομισθῇ.

book 916b σὲ] ὦ ἄδικε.

book 916c φοιτᾶν] εἰς τὸ διδασκαλεῖον.

book 917 μειρακίων] ἀπό.

book 920a

αὐχμεῖς αἰσχρῶς: ὡς τῶν δικαίων καὶ στενουμένων τοῖς πράγμασι καὶ αὐχμηρῶν ὄντων. σὺ δέ γε εὖ πράττεις, ἄδικε, ἐκ τοὐναντίου. τοῦ ἐναντίου. καίτοι πρότερόν γ' ἐπτώχευες: ὅτε τὰ δίκαια τιμιώτερα τῶν φαύλων ἐνομίζετο. φάσκων εἶναι Μυσὸς Τήλεφος: ἤτοι οὕτως ἐπτώχευες, οἷον πτωχὸν Εὐριπίδης συσκευάζει τὸν Τήλεφον στρατηγὸν ὄντα Μυσίας μετὰ πηριδίου ἐλθόντα προσαίτην εἰς τὴν Ἑλλάδα καὶ τῆς Ἀγαμέμνονος αὐλῆς μόλις ποτὲ πυλωρὸν γεγονότα· δι' ὃν καὶ κωμῳδεῖται.

book 920b αὐχμεῖς] ξηραίνεσαι ἤγουν πένης εἶ.

book 921 πρότερόν] ὅτε ἐπολιτεύετο τὸ δίκαιον.

book 923 πηριδίου] σακουλίου.

book 924a γνώμας τρώγων πανδελετίους: ἤτοι διαζῶν ἐκ συκοφαντιῶν, ὥσπερ ὁ ἐν Ἀθήναις ῥήτωρ Πανδελέτιος πένης ὢν καὶ συκοφαντῶν καὶ ψηφίσματα γράφων καὶ οὕτω διατρεφόμενος.

book 924b ζῶν ἐκ συκοφαντίας, ὡς ὁ Πανδέλετος.

book 924c πανδελετίους: ἤτοι ζῶν ἀπὸ συκοφαντιῶν· Πανδέλετος γὰρ ῥήτωρ ἀθηναῖος καὶ συκοφάντης.

book 925 ὤ μοι] φεῦ.

book 928a λυμαινόμενον τοῖς μειρακίοις: λυμαίνοντα τὰ μειράκια, ἀττικῶς, τοῖς ἀδίκοις, ἀτέχνοις, ψευδέσι διδάγμασιν.

book 928b λυμαινόμενον] τουτέστι λυμεῶνα, ἢ ἀττικῶς τὸ λυμαίνω.

book 929a Κρόνος ὢν: παλαιός, εὐήθης, μωρός, ἄφρων.

book 929b τοῦτον] τὸν Φειδιππίδην.

book 929c Κρόνος] μωρός.

book 930a εἴπερ αὐτὸν σωθῆναι χρὴ: εἰ τέως αὐτῷ ποθητὸν σωτηριώδεις πόλεως λόγους μαθεῖν, τεχνικούς τε καὶ σώφρονας, ἀλλὰ μὴ φλυαρίαν καὶ στωμυλίαν εἰκαίαν τέχνας καὶ ἤθη καὶ πόλεις ὀλλύουσαν.

book 930b 930] διδάξω.

book 931a λαλιὰν] φλυαρίαν, τὸ λέγειν.

book 931b ἀσκῆσαι] μαθεῖν.

book 933 κλαύσει] λυπηθῇς.

book 935a σαφῆ τὰ πάντα· τί κενῶς γράφειν θέλω; σύ τε: δίκαιε. ὁ χορός φησιν, οὐχ ὁ Στρεψιάδης, ταῦτα. ὅπως 〈...〉 κρίνας φοιτᾷ: ὁ Φειδιππίδης· οὐ φοιτᾶν ποιήσω, ὥς φασιν οἱ παλαιοί.

book 935b ἀλλ' ἐπίδειξαι] πρὸς τὸν δίκαιον.

book 936a σύ τε] πρὸς τὸν ἄδικον.

book 936b τὴν καινὴν] τῷ ἀδίκῳ.

book 937a ἀκούσας] ὁ νεανίας.

book 937b σφῶϊν] ὑμῶν.

book 938 φοιτᾷ] φοιτήσει ἀττικῶς.

book 940 πρότερος] πρότερον.

book 941 δώσω] ἐπιτρέψω.

book 944 κατατοξεύσω] καταβάλω.

book 947a ἀνθρήνη: οἱ μὲν εἶδος μελίσσης σφηκὶ ὅμοιόν φασιν εἶναι τὴν ἀνθρήνην, οἱ δὲ τὴν μέλισσαν αὐτὴν λέγουσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 947b Ἀριστοτέλης συγγενῆ τὴν ἀνθρήνην τῇ μελίσσῃ φησίν, ὁμοίαν σφηκί. κοινοτέρως δὲ ἐπὶ τῶν μελισσῶν.

book 947c ἀνθρήνων] μελισσῶν. ἀνθρήν, ἀνθρῆνος, ἀπὸ τοῦ ἐρᾶν τῶν ἀνθέων.

book 949a νῦν δείξετον καὶ δείξουσιν οἱ δύο λόγοι, φησὶν ὁ χορός, ἐν λόγοις προφορικοῖς καὶ συλλαβαῖς καὶ λέξεσι μετρουμένοις καὶ μερίμναις ἀποτυπούσαις γνώμας καὶ διανοίας, ἢ τυπτούσαις καὶ πληττούσαις ἐν διανοίαις, ὁποῖος αὐτῶν κρείττων φανήσεται. (954) νῦν γὰρ ἀνεῖται καὶ καταλέλειπται πᾶς κίνδυνος τῆς σοφίας ἐνθάδε, ἤτοι νῦν ἐστιν ὁ ἔσχατος καὶ κριτὴς σοφίας ἀγών· περὶ ἧς σοφίας ἐστὶ μεγίστη φροντὶς τοῖς ἐμοῖς φίλοις, ἢ τοῖς δυσὶ τούτοις προσωποποιηθεῖσι λόγοις, φησί, τῷ κρείττονι καὶ τῷ ἥττονι· φίλοι γὰρ τοῖς Ἀττικοῖς οἱ λόγοι καὶ τὰ νοήματα. ἢ αἱ Νεφέλαι φίλους καλοῦσι τοὺς τῶν νοημάτων κριτικοὺς θεατάς,

book 949a οὓς καὶ βόστρυχον ὄπισθεν εἶπεν Ὀρέστου. ἢ φίλους καλοῦσι Σωκράτην καὶ Στρεψιάδη(ν).

book 949b νῦν δείξετον: τῆς στροφῆς ταύτης μέχρι τοῦ “ἀγὼν μέγιστος” ἀντίστροφός ἐστι τὸ “ὦ καλλίπυργον” μέχρι τοῦ “εὐδοκίμησεν ἀνήρ”.

book 949c δείξετον] δείξουσι.

book 949d δείξετον] δείξετε.

book 949e τὼ πισύνω] οἱ θαρροῦντες.

book 949b, col. 2 τὼ πισύνω: ἀντὶ τοῦ “θαρροῦντες”.

book 950 περιδεξίοισι] ἐπιτηδείοις.

book 953 αὐτοῖν] ὑμῶν.

book 955 κίνδυνος] πόλεμος.

book 956 ἀνεῖται] ἀνάκειται, ἐξήπλωται, δέδοται, φαίνεται.

book 959a ἀλλ’ ὦ πολλοῖς: ἐντεῦθεν τετράμετρα ἀναπαιστικὰ καταληκτικά, ἃ καλεῖται καὶ ἀριστοφάνεια, ὅτι τούτοις αὐτὸς εὐδοκίμησεν.

book 959b 959] πρὸς τὸν δίκαιον.

book 960a οὐδὲ τῇ ἐννοίᾳ ἢ τῇ συνεπείᾳ τοῦ λόγου ἐστί τι δυσχερὲς πάρεξ βραχίστων τινῶν. “ᾗ τινι” περίσπα, μὴ ὄξυνε· δύο γὰρ μέρη λόγου εἰσίν, “ᾗ” καὶ “τινί”.

book 960b καλῶς τὸ “ῥῆξον”, διότι ὁ τοῦ δικαίου λόγος ἔοικε βροντῇ.

book 960c ῥῆξον φωνὴν] βόησον.

book 961a διέκειτο: ἀντὶ τοῦ “ἦν, ἐγίνετο”.

book 961b παιδείαν] γρ. σοφίαν.

book 961c ὡς διέκειτο] κατάστασιν.

book 962 ἤνθουν] ἤκμαζον.

book 964a εἰς κιθαριστοῦ: καὶ ἐς κιθαριστοῦ. καὶ ἁπλῶς ἡ ἐς πρόθεσις μετὰ γενικῆς συντάσσεται ἀττικῶς· ἐλλειπτικῶς γὰρ λέγεται· ἐς τὰ δώματα τοῦδε καὶ τοῦδε.

book 964b βαδίζειν] ἔδει.

book 964c κιθαριστοῦ] τὰ δώματα.

book 965a τοὺς κωμήτας: κωμῆται ἀλλαχοῦ μὲν οἱ ἀπὸ τοῦ αὐτοῦ χωρίου, νῦν δὲ οἱ ἐκ τῆς αὐτῆς ἀμφόδου καὶ τοῦ αὐτοῦ ῥεγεῶνος, οἱ γείτονες. ἄθρουν “ὁμοῦ” δάσυνε, τὸ “θροὸς δ’ ἄνευ” ψιλῶν ἁμάρτῃς οὐδαμῶς τέχνης λόγων. τοὺς βουβάλους δ’ ἔασον ἀσκόπως γράφειν.

book 965b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεὶ κριμνώδη κατανίφοι: μέγιστα καὶ παχέα, δίκην κριθῶν. οἱ δὲ κρίμνον φασὶ τὸ παχύτερον τῶν ἀλεύρων. καὶ πάλιν εἰς τὴν κυρὰν ἐκκλησίαν ὑπάγομεν· τὰ παχύτερα γὰρ τῶν ἀλεύρων πιτυρώδη καὶ κριθώδη.

book 965b, col. 2 ὃ πιτυρῶδες καὶ κριθῶδές ἐστιν.

book 965b σπουδαζόμενον δὲ πρὶν ὑπῆρχε κιθαρῳδεῖν Ἀττικοῖς.

book 965c κωμῆται ἢ οἱ ἀπὸ τῆς αὐτῆς κώμης, ὅτι τὸ παλαιὸν κατὰ κώμας ᾤκουν Ἀθηναῖοι· ἢ καὶ ἀπὸ τῆς αὐτῆς ἀμφόδου. ἐσπούδαζον δὲ οἱ Ἀθηναῖοι περὶ κιθαρῳδίαν.

book 965d ἁθρόον ἀντὶ τοῦ "ὁμοῦ" δασύνεται, ἀθρόον δὲ ἀντὶ τοῦ "ἐξαίφνης" ψιλοῦται. ἀπὸ α στερητικοῦ καὶ τοῦ "θεωρῶ"· ὁμοίως καὶ τὸ "αἴφνης" οἱονεὶ "ἀφανές".

book 965e ἁθρόως ὁμοῦ, ἀθρόως ἐξαίφνης.

book 965f κριμνώδη: μέγιστα καὶ παχέα, δίκην κριθῶν. οἱ δὲ κρίμνον φασὶ τὸ παχύτερον τῶν ἀλεύρων· τὰ παχύτερα γὰρ τῶν ἀλεύρων πιτυρώδη καὶ κριθώδη.

book 965g κωμήτας] πολίτας.

book 965h τοὺς κωμήτας] τοὺς γείτονας.

book 965i ἁθρόους] ὁμοῦ.

book 965k κριμνώδη] πολλά.

book 965l κατανίφοι] βρέχοι.

book 966a τὼ μηρὼ μὴ ξυνέχοντας: ἀνειμένους καὶ ἀφέτους καὶ μέσως διεστῶτας καὶ μὴ ξυνεστῶτας καὶ συνεσφιγμένους ἔχοντας τοὺς μηροὺς καὶ συνθλίβοντας τὰ μόρια. ἐδίδασκε δὲ αὐτοὺς ὁ κιθαριστὴς ᾆσμα καὶ ᾠδάριον καὶ ψαλμῳδίαν, οὐ κάπηλον, ἀγοραῖον, ἀσωτίας καὶ ἀναιδείας ἀνάμεστόν τε καὶ βάρβαρον τὰ χέρια τοῦ κλωστομάλλου νὰ θάψουν τὴν τζερδέλαν, ἀλλ' οἷον τὸ Λαμπροκλέους τοῦ ἀθλητοῦ, υἱοῦ Μίδωνος Παλλάδα περσέπολιν κλῄζω πολεμαδόκον ἁγνὰν παῖδα Διὸς μεγάλου δαμάσιππον ἄϊστον 〈Ἀθάναν〉 παρθένον ἢ οἷον τὸ τηλέπορον βόαμα λύρας, ὃ ἦν Κυδίδου ἢ Κυδίππου Ἑρμιονέως. τηλέπορον δὲ τὸ ἐξάκουστον.

book 966b τὼ μηρὼ ἀνειμένους, διεστῶτας πρὸς τὸ μὴ θλίβειν τὸ μόριον.

book 966c εἶτ' αὖ] ὅτε ἔδει.

book 966d ἐδίδασκεν] ὁ κιθαριστής.

book 966e τὼ μηρὼ] τοὺς μηρούς.

book 966f ξυνέχοντας] συσφίγγοντας.

book 967a ᾆσμα ἦν Λαμπροκλέους τοῦ Μίδωνος Παλλάδα περσέπολιν κλῄζω πολεμαδόκον ἁγνὰν παῖδα Διὸς μεγάλου δαμάσιππον ἄϊστον Ἀθάναν.

book 967b τὸ δὲ τηλέπορον βόαμα λύρας ἤτοι ἐξάκουστον, Κυδίππου ἦν ᾆσμα Ἑρμιονέως.

book 967c διασύρει τὸν Κύδιππον.

book 967d τὴν ἀνδρείαν.

book 967e τηλέπορον ... βόημα] καὶ ὧδε τὸν Στρατοκλῆν.

book 967f τηλέπορον] ἐξάκουστον.

book 968a ἐντειναμένους] ἁρμόσαντας ἤγουν σύντονον μέλος ᾄδοντας.

book 968b τὴν ἁρμονίαν] ἤγουν τὴν μουσικήν.

book 969a βωμολοχεύσαιτο: φλυαρήσειεν· ἀπὸ τῶν ἐν βωμοῖς λάλων ὀρνέων.

book 969b ἢ πολυσύστρεπτον ᾆσμα ᾄσειεν, ὡς οἱ περὶ Φρῦνιν.

book 969c βωμολοχεύσαιτο: ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς βωμοῖς λοχώντων ἤτοι καθημένων, ὡς ἐκεῖθεν ἁρπάζοιέν τι, καὶ φλυαρούντων πολλά.

book 969d ὅταν ψάλλῃ τις καλῶς καὶ ἀναβαίνῃ ἡ φωνὴ αὐτοῦ, τότε λέγεται εὐθεῖα· ὅταν δὲ ἀνακόπτῃ καὶ συντρίβῃ, τότε λέγεται κάμπτειν τὴν φωνήν.

book 969e βωμολοχεύσαιτο] φλυαρήσειε.

book 969f κάμψειέν] φθείρει〈εν〉 ἢ κλάσειεν.

book 969g καμπήν] ἁρμονίαν.

book 969c, col. 2 καμπήν] κεκλασμένην φωνήν.

book 971a Φρῦνις κιθαρῳδὸς μιτυληναῖος ὃς πρότερον αὐλητὴς ὢν ὕστερον κιθαρῳδὸς γέγονε, πρῶτος καινουργήσας καὶ κλάσας τὴν ᾠδὴν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γύννις καὶ ψυχρός.

book 971b Φρῦνιν] τὸν ποιητήν.

book 972a ἐπετρίβετο καὶ κατεξαίνετο τὸ σαρκίον, τυπτόμενος πολλὰς πληγὰς ὡς τὰς Μούσας καὶ τὴν μουσικὴν εὐτεχνίαν, ἀφανίζων καὶ καταισχύνων. ἦν δὲ ὁ Φρῦνις κιθαρῳδὸς τῷ γένει μιτυληναῖος, ὃς πρῶτος δοκεῖ Παναθηναίοις κιθαρῳδίᾳ νικῆσαι ἄρχοντος Καλλίου. αὐλητὴν δὲ πρότερον τοῦτον ὄντα τοῦτον ὄντα τὸν Φρῦνιν πρότερον Ἀριστόκλειτος κιθαρῳδὸς λέσβιος ἀπὸ Τερπάνδρου τὸ γένος κατάγων ἐν τῇ Ἑλλάδι κατὰ τοὺς μηδικοὺς χρόνους ἀκμάζων μαθητὴν ἔσχε καὶ ἀντ’ αὐλητοῦ τοῦτον κιθαρῳδὸν ἐπαίδευσεν.

book 972b ἐπετρίβετο] ἐξαίνετο τὸ σαρκίον.

book 972c πολλὰς] μάστιγας.

book 972d τὰς Μούσας] τὴν μουσικὴν εὐτεχνίαν.

book 973a ἐν παιδοτρίβου δὲ καθίζοντας: κἀν τῇ παρούσῃ δὲ σελίδι βραχέα εἰσὶν ἃ δεῖται ἐπεξηγήσεως ⟦ὡσ⟧· χρὴ δὲ καὶ ταῦτα ἐπιδρομάδην ἐρεῖν. ἐν δώμασι δὲ παιδοτρίβου ἔδει τοὺς παῖδας καθημένους ὑφαπλοῦν τοὺς μηροὺς καὶ τὰ ἱμάτια, ἵνα μὴ τοῖς ἔξωθεν δείξειάν τι ἀπηνές. νῦν ἀπηνὲς οὐ τὸ ἄγριον, ἀλλ’ αἰσχυντηλόν, ἀπρεπές, οἷον οὐ δεῖ καὶ ἄπο τοῦ αἴνου. καὶ πάλιν ἀνισταμένους ἔδει συμψῆσαι, περιστεῖλαι, συσφίγξαι τὰ ἱμάτια καὶ τοὺς πόδας περιστεῖλαι κοσμίως καὶ προνοῆσαι καὶ φροντίσαι, εἴδωλον καὶ τύπον, τῆς ἥβης καὶ τοῦ μορίου, ἐν τῇ συσφίγξει τῶν ἱματίων μὴ καταλείπειν τοῖς ἐρασταῖς.

book 973b προβαλέσθαι: ἀντὶ τοῦ “πρόβλημα θεῖναι τῶν μηρῶν”, ὡς ἂν μὴ τὰ τοῦ παιδὸς μόρια φαίνηται. (974) ἀπηνὲς δὲ νῦν τὸ αἰσχρόν, τὸ “ἄπο αἴνου”.

book 973c ἐν παιδοτρίβου] τῇ σχολῇ.

book 973d καθίζοντας] βαδίζοντας.

book 973e προβαλέσθαι] καλύψαι, ὑφαπλῶσαι.

book 974a ἀπηνές] ἀναίσχυντον, αἰσχυντηλόν.

book 975a συμψῆσαι: συγχέαι τὴν κόνιν, ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ καθήμενοι ἐγυμνάζοντο.

book 975b συμψῆσαι] ἀφανίσαι τὴν κόνιν.

book 975c συμψῆσαι] περιστεῖλαι τὰ ἱμάτια.

book 976a εἴδωλον] λείψανον, τύπον, φαντασίαν.

book 976b τῆς ἥβης] τοῦ μορίου.

book 977a ἠλείψατο δ’ ἂν: ἐκ τῶν ἄνωθεν δὲ μερῶν μέχρι τοῦ ὀμφαλοῦ ἐλαίῳ οἱ παῖδες ἠλείφοντο, οὐ κατωτέρω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 977b ὑπένερθεν] κάτωθεν.

book 978a χνοῦς ἐπήνθει: ὥσπερ μήλοις—νῦν μήλοις κυδωνίοις—χνοῦς ἐπίκειται, τοῖς ἀθιγέσιν.

book 978b μήλοις: τοῖς κυδωνίοις, ὅταν ἀθιγῆ ὦσιν ἔτι.

book 978c μήλοισιν] ὀπώραις, κυδωνίοις.

book 979a μαλακὴν φυρασάμενος φωνὴν: ἐς τὸ θηλυπρεπὲς καὶ χαῦνον καὶ μαλακὸν φυρασάμενος καὶ μαλάξας καὶ μεταποιήσας αὐτήν.

book 979b μαλακὴν … φωνὴν] θηλυπρεπῆ πλάσας τὴν φωνήν, μαλάξας, συγκεράσας.

book 980 προαγωγεύων] μαυλίζων· προαγωγὸς γὰρ ὁ μαυλιστής.

book 981a οὐδ’ ἀνελέσθαι: οὐδὲ δειπνοῦντα καὶ συνεσθίοντα νέον γέρουσιν, ἐξῆν τῷ νέῳ ἀναιδεύεσθαι καὶ ἁρπάζειν μηδὲ τὸ τυχὸν ἐκ τῶν γερόντων ἢ κεφάλαιον ῥαφανίδος ἢ ἄνηθον ἢ σέλινον. ἐκ δὲ τοῦ λέγειν· κεφάλαιον ῥαφανίδος, δείκνυσιν, ὅτι πρώην κυκλικῶς ἔτεμνον τὰς ῥαφανίδας, καὶ τὸ πρὸς τοῖς φύλλοις ἐκάλουν κεφάλαιον.

book 981b δειπνοῦντα: ἤτοι συνδειπνοῦντα τοῖς γέρουσιν. κεφάλαιον δὲ τὸ μετὰ τῶν φύλλων τμῆμα τῆς ῥαφανίδος. οὐκ ἤσθιον δὲ τοῦτο οἱ νέοι διὰ τὸ θερμὸν εἶναι καὶ κινητικὸν πρὸς ἀφροδίσια.

book 981c κεφάλαιον] ἰστέον, ὅτι ἡ κεφαλὴ τῆς ῥαφανίδος θερμή.

book 982 ἄνηθον] ἀπὸ τοῦ “ἄνω θέειν”.

book 983a οὐδ’ ὀψοφαγεῖν: τρυφᾶν τραπέζαις ἁβρὰ ὄψα ἐχούσαις.

book 983b κιχλίζειν: κίχλας ἐσθίειν ἢ γελᾶν ἀτάκτως.

book 983c ἴσχειν τὼ πόδε ἐναλλάξ: σταυρικῶς περιπλέκειν.

book 983d ὀψοφαγεῖν τὸ τρυφᾶν. κιχλίζειν δὲ ἀτάκτως γελᾶν.

book 983e ὀψοφαγεῖν] καὶ λιπαροὺς ὄρτυγας ἐσθίειν.

book 983f κιχλίζειν] καὶ ἀτάκτως γελᾶν.

book 983g ἴσχειν … ἐναλλάξ] ἤγουν ἔχειν ἕνα ἐπάνω τοῦ ἄλλου.

book 984a ἀρχαῖα καὶ διϊπολιώδη: ἀρχαῖα ἦσαν τὸ μὴ τρυφᾶν, μὴ κιχλίζειν καὶ τὰ τοιαῦτα. ἀρχαῖα καὶ διϊπολιώδη: τὰ Διϊπόλια γὰρ ἦν ἑορτὴ τοῦ Διὸς ἀρχαία. ἀρχαιοτάτη. καὶ τεττίγων ἀνάμεστα: οἱ τέττιγες αὐτόχθονές εἰσι καὶ γῆς παῖδες. τὸ παλαιὸν δὲ οἱ Ἀθηναῖοι τῶν εὐγενῶν παίδων τὰς κόμας ἀνέπλεκον χρυσοῦν τοῖς πλεκτῆρσιν ἐπιτιθέντες τὸν τέττιγα δεικνύντες, ὅτι αὐτόχθονες.

book 984b Διϊπόλια ἑορτὴ τοῦ Διὸς ἀρχαία. οἱ τέττιγες δὲ αὐτόχθονες καὶ γῆς παῖδες. τὸ παλαιὸν δὲ Ἀθηναῖοι τῶν εὐγενῶν παίδων τὰς κόμας ἀνέπλεκον ἐπιτιθέντες τοὺς τέττιγας δεικνύντες, ὅτι καὶ αὐτοὶ αὐτόχθονές εἰσιν.

book 984c οἱ Ἀθηναῖοι πλέκοντες τοὺς πλοκάμους τῶν παίδων αὐτῶν ἐκρέμων χρυσοῦς τέττιγας, ἵνα ἐκ τούτων φαίνονται, ὅτι αὐτόχθονές εἰσιν.

book 984d ἀρχαῖα] μωρά.

book 984e διϊπολιώδη] καὶ παλαιὰ καὶ μωρά.

book 985a καὶ Κηκείδου καὶ Βουφονίων: ἀρχαῖος ἦν διθυραμβοποιὸς ὁ Κηκείδης. τὰ Βουφόνια ἑορτὴ παλαιὰ ἐν Βράβρωνι τῆς Ἀττικῆς γινομένη ἐξ αἰτίας τοιᾶσδε· τὸ πόπανον γὰρ τὸ πρὸς τὴν τότε θυσίαν παρεσκευασμένον κατέφαγε βοῦς. Βράβρων δέ τις παρατυχὼν ἐκεῖ τότε σὺν πελέκει ἑστὼς πλήξας ἐκεῖνον ἀνεῖλεν,

book 985a, col. 2 ὡς Ἀνδροτίων φησίν.

book 985b

ἀλλ’ οὖν ταῦτ’ ἐστὶν ἐκεῖνα: πρὸς τὸ “ἀρχαῖα καὶ διιπολιώδη” ὁ δίκαιος λόγος φησίν· ἀλλ’ οὖν τὰ ἀρχαῖα ταῦτά εἰσι τὰ παιδεύσαντα καὶ ποιήσαντα καὶ ἐκθρέψαντα ἄνδρας μαραθωνομάχους, μαραθωνομάχας, οἳ ἐννακισχίλιοι ὄντες συμμαχησάντων αὐτοῖς καὶ Πλαταιέων χιλίων τριακοσίας χιλιάδας ἐτρέψαντο καὶ ἀνεῖλον Περσῶν.

book 985c Κηκείδης ἀρχαῖος διθυραμβοποιός, οὗ μέμνηται Κρατῖνος ἐν Πανόπταις.

book 985d Βουφόνια δὲ παλαία ἑορτή, ἣν ἦγον μετὰ τὰ μυστήρια, ὅτε καὶ βοῦν ἔθυον εἰς ὑπόμνησιν τοῦ φονευθέντος βοὸς ἐν Ἀκροπόλει ἁψαμένου τοῦ πελάνου ἐν τῇ ἑορτῇ τῶν Διονυσίων.

book 985e τὶς ἄνθρωπος ὄνομα Βράβρων ἔθηκε πόπανα εἰς τὸν βωμόν. ἐλθὼν δὲ ὁ βοῦς ἐγεύσατο τούτων. εἰσελθὼν δὲ ὁ ἄνθρωπος ἐκεῖνος ἀνεῖλε αὐτὸν καὶ ἔκτοτε ἐκλήθησαν Βουφόνια.

book 985f Κηκείδου] διθυραμβοποιοῦ.

book 986a μαραθωνομάχους: Ἀθηναῖοι ἐν Μαραθῶνι ͵θ ὄντες συμμαχησάντων αὐτοῖς καὶ Πλαταιέων ͵α τριακοσίας χιλιάδας ἐτρέψαντο Περσῶν.

book 986b μαραθωνομάχους] Μαραθὼν τόπος Ἀττικῆς.

book 988 ὅταν ὀρχεῖσθαι: ὠρχοῦντο γὰρ τοῖς Παναθηναίοις πυρρίχην, ἐνόπλιον ὄρχησιν.

book 989a τὴν ἀσπίδα τῆς Τριττογενείας: Τριτογενείης: τῆς Ἀθηνᾶς, προέχων τῆς κωλῆς: νῦν τοῦ μακροῦ αἰδοίου, ἵνα μὴ φαίνοιτο, ἀμελῇ: τῆς ὀρχήσεως. ἢ ὅταν προέχων τὴν ἀσπίδα τῆς κωλῆς ἀμελῇ τῆς Τριττογενείας Τριτογενείης καὶ Ἀθηνᾶς, ἤγουν τῆς παναθηναϊκῆς πυρρίχης. οὐ γὰρ κατεῖχον τῆς θεοῦ τὴν ἀσπίδα.

book 989b κωλῆς νῦν τοῦ μακροῦ αἰδοίου. Τριττογενείας δὲ τῆς ἐπὶ τῇ Ἀθηνᾷ πυρρίχης ὀρχήσεως. ἐν γὰρ τοῖς Παναθηναίοις ἐν ὅπλοις ὠρχοῦντο οἱ παῖδες, διὰ δὲ τὸ ἀπρεπὲς προΐσχοντο τῶν αἰδοίων τὴν ἀσπίδα.

book 989c τῆς παναθηναϊκῆς πυρρίχης.

book 989d κωλῆς] γαστρός.

book 989e προέχων] ἐξέχων.

book 989f προέχων] τις.

book 989g Τριτογενείας] ὀρχήσεως.

book 991 κἀπιστήσει] μαθήσῃ ἀκριβῶς.

book 992a σκώπ〈τ〉ῃ] ὑβρίζῃ.

book 992b φλέγεσθαι] ἐρυθριᾶν ἀπὸ τῆς αἰδοῦς.

book 993, col 2 τῶν] ἀπό.

book 994a παρὰ τοὺς ἑαυτοῦ γονέας: παρὰ τὰς τῶν σῶν προγόνων ἀρετάς.

book 994b περὶ ... γονέας] παρὰ τὴν γνώμην τῶν γονέων.

book 995a ὅτι τῆς αἰδοῦς: ὅτι ὡς ἄριστος ἀνδριαντουργὸς μέλλεις σεαυτὸν εἰκόνα καὶ ἀνδριάντα κοσμιότητος ἀναπλήσειν, πληρῶσαι καὶ ἐργάσασθαι.

book 995b ὅτι σεαυτὸν ὥσπερ ἄγαλμα καὶ στήλην τῆς αἰδοῦς καὶ κοσμιότητος ἀναστήσεις.

book 995c μέλλεις] τηρήσας ταῦτα.

book 995d μέλλεις] σαυτόν.

book 995e ἀναπλήσειν] ἀναπληρώσειν, ἐργάσασθαι.

book 996a μηδ’ εἰς οἰκίαν ὀρχηστρίδος εἰσάγειν σαυτόν, ἵνα μὴ μήλῳ βληθεὶς ἐκπέσῃς τῆς εὐκλείας, ἵνα μὴ διαβληθεὶς ἐρωτικῶς πορνείοις διάγων κωμῳδῇ.

book 996b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς ὀρχηστρίδος] οἰκίαν.

book 996c εἰσιέναι] σεαυτόν.

book 997a ἢ μήλῳ ἢ ἔρωτι. ἔστι δὲ καὶ τὸ μῆλον ἱερὸν Ἀφροδίτης.

book 997b μήλῳ] καὶ τῷ ἔρωτι.

book 997c βληθεὶς] ἤγουν δελεασθείς.

book 997d ἀποθραυσθῇς] ἀποτύχῃς.

book 998a μηδ’ ἀντιλογεῖν κατὰ μηδὲν τῷ πατρί.

book 998a, col 2 μηδ’ ἀντιλογεῖν τῷ πατρὶ μηδέν, ἀντὶ τοῦ “κατὰ μηδέν”.

book 998b μηδ’ Ἰαπετὸν καλές’ αὐτὸν: παλαιόν, Κρόνον· Ἰαπετὸν τυμβογέροντα, ἐσχατόγηρων.

book 998c ἀρχαῖον, μωρόν· ἀπό τινος Ἰαπετοῦ.

book 998c, col 2 Ἰαπετὸν] λῆρον.

book 998d Ἰαπετὸν] ἐσχατόγηρων.

book 998e καλέσαντα] τὸν πατέρα.

book 998f καλέσαντα] σέ.

book 999a μνησικακῆσαι τὴν ἡλικίαν: μὴ ἐπὶ κακῷ καὶ ὕβρει καὶ λοιδορίᾳ μνησθῆναι τῆς γηραιᾶς πατρικῆς ἡλικίας, ἀλλ’ ἐπὶ θειασμῷ καὶ τιμῇ καὶ σεβάσματι.

book 999b ἐπὶ κακῷ μνησθῆναι τῆς ἡλικίας.

book 999c μνησικακῆσαι τὴν ἡλικίαν] ἐπὶ κακῷ μνησθῆναι τῆς γεροντικῆς ἡλικίας.

book 999b, col 2 ἐνεοτροφήθης (sic)] ἐτράφης.

book 1000a εἰ ταῦτ’, ὦ μειράκιον: ὁ ἄδικος λόγος ἀντιτείνων πρὸς ταῦτά φησιν· εἰ τούτῳ πείσῃ, εἴξεις καὶ ὅμοιος γενήσῃ, τοῖς Ἱπποκράτους παισὶ καί σε ἂν καλῶσι βλιτομάμμαν, ἤτοι μωρόν. τρεῖς δὲ Ἱπποκράτει Ἀθηναίῳ τινί, οὐ τῷ ἰατρῷ, παῖδες ἦσαν οἵδε· Τελέσιππος, Δημοφῶν, Περικλῆς, διαβαλλόμενοι ὡς συώδεις καὶ ἀνόητοι. βλιτομάμμας δὲ ὁ μωρὸς, ἀπὸ “βλίτου” εὐτελοῦς λαχάνου καὶ “μαμμάν”, ὁ ἄρτος.

book 1000b ταῦτ’] εἰς.

book 1000c τούτῳ] τῷ δικαίῳ.

book 1001a Ἱπποκράτει τινὶ Ἀθηναίῳ τρεῖς ἦσαν υἱοὶ συώδεις καὶ ἀνόητοι. βλιτομάμμαν δὲ ἤτοι ἀνόητον ἀπὸ τοῦ “βλίτου”, λαχάνου εὐτελοῦς, καὶ τοῦ “μαμμᾶν”, ὃ δηλοῖ τὸν ἄρτον. καὶ Εὔπολις ἐν Δήμοις· Ἱπποκράτους παῖδες ἐμβόλιμοί τινες, βληχητὰ τέκνα καὶ οὐδαμῶς τοῦ τρόπου.

book 1001b εἴξαις (sic)] ἤγουν γένῃ καὶ σὺ μωρός, ὥσπερ ἐκεῖνοι.

book 1001c εἴξαις] ὁμοιωθῇς.

book 1001d βλιτομάμμαν] ἀπὸ τοῦ “βλίτου” καὶ τοῦ “μαμμάν”, ὁ ἄρτος.

book 1002a ἀλλ’ οὖν λιπαρός γε: πρὸς ταῦτα ὁ δίκαιος λόγος· εὐτραπελίαν μὲν καὶ στωμυλίαν καὶ φλυαρίαν, ἣν οὗτός φησιν, οὐκ ἀσκήσεις, ἀλλ’ οὖν λιπαρὸς καὶ κατάλειπτος ἐλαίῳ ἤτοι παλαιστὴς καὶ ἀγωνιζόμενος ἐν γυμνασίοις διατριβὴν ποιήσῃ καὶ διάξεις οὐ φλυαρῶν κατὰ τὴν ἀγορὰν καὶ κατὰ τὰ τῶν ὠνίων πρατήρια, κατατετριμμένα, ἐκτράπελα καὶ ἔξω τοῦ πρέποντος λόγια.

book 1002b λιπαρός] κατάλειπ ⟨τ⟩ ος ἐλαίῳ, παλαιστής.

book 1003a δίκην τριβόλων κεντοῦντα, πικρὰ καὶ ἐκτράπελα, ἄσεμνα ἤτοι ἔξω τοῦ δέοντος τετραμμένα.

book 1003b στωμύλλων] φλυαρῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1003c τριβολεκτράπελ᾽] σκληρά, ἀπόβλητα, τετριμμένα, ἔξω τοῦ πρέποντος τραπέντα.

book 1004a οὐδ᾽ ἑλκόμενος: οὐδὲ ἔσῃ ἑλκόμενος περὶ πράγματος γλίσχρου καὶ φευκτέου, ἀντιλογίαν ἐπίτριπτον καὶ βδελυρὰν ἔχοντος, καὶ ἀξίου ἀξίαν ἐπιτριβῆς καὶ ἀπωλείας.

book 1004b γλίσχρου καὶ φειδωλοῦ καὶ ἀντιλογίαν ἐπίτριπτον καὶ ἀξίαν ὀλέθρου ἔχοντος.

book 1004c οὐδ᾽] οὐδ᾽ ἔσῃ.

book 1004d γλισχραντιλογεξεπιτρίπτου] ἀξίου ἐπιτρίψεως.

book 1004e γλισχραντιλογεξεπιτρίπτου] ἐπιτριβῆς καὶ ἀπωλείας ἀξίαν.

book 1005a ἀλλ᾽ εἰς Ἀκαδημίαν: Ἀκαδημία γυμνάσιον ἦν ἐν ταῖς Ἀθήναις ἀπὸ Ἀκαδήμου τὴν κλῆσιν λαβόν, ὃς κατέλειψε τὴν κτῆσιν αὐτοῦ εἰς τὴν τοῦ γυμνασίου οἰκοδομήν. περὶ δὲ τὴν Ἀκαδημίαν αὐτὴν καὶ αἱ ἱεραὶ ἦσαν ἐλαῖαι, μορίαι καλούμεναι, ἐξ ὧν ἦν τῶν Παναθηναίων τὸ ἔλαιον. μορίας δὲ τὰς ἐλαίας ταύτας ἐκάλουν, ἀνθ᾽ ὧν ἐκεῖ Ἁλιρρόθιος ὁ Ποσειδῶνος υἱὸς ἀνῃρέθη πελέκει ὑπ᾽ Ἄρεος ὡς φθείρας Ἀλκίππην τὴν θυγατέρα τοῦ Ἄρεος, ὅθεν ἐκεῖ καὶ πρώτως οὗτοι ἐκρίθησαν οἱ δύο θεοί, ὁ Ποσειδῶν καὶ ὁ Ἄρης.

book 1005b Ἀκαδημία γυμνάσιον Ἀθήνησιν, ἔνθα καὶ ἱεραὶ ἦσαν ἐλαῖαι, μορίαι καλούμεναι διὰ τὸ ἐκεῖ γεγονέναι Ἁλιρροθίου μόρον, ἐξ ὧν ἦν τῶν Παναθηναίων τὸ ἔλαιον.

book 1005c μορίαις] ἐλαῖαι οὕτω καλούμεναι.

book 1005d ὑποθρέξει] δράμῃς, πηδήσῃς.

book 1006 καλάμῳ λευκῷ: καλάμῳ λευκῷ, φησί, στεφανωθήσῃ, ἁπλῷ στεφάνῳ, ὄζων: καὶ μῦρον καὶ εὐωδίαν ἀπραγμοσύνης ἐκπνέων. ἢ ὅτι καὶ οἱ Διόσκουροι καλάμῳ ἐστέφοντο διὰ τὸ ὑπερβάλλον τῆς δικαιότητος, ἄνακτες ἤτοι θεοὶ καὶ σωτῆρες τοῖς Ἀθηναίοις κληθέντες. ἁρπαγείσης γὰρ ἑπταετοῦς τῆς Ἑλένης ὑπὸ Θησέως μετά τινα καιρὸν κατ᾽ Ἀθηναίων στρατεύσαντες ἐν Ἀφίδναις τῆς Ἀττικῆς, ἐπεὶ τὸν Θησέα ἔτυχεν ἐκεῖ μὴ παρεῖναι, Ἑλένην λαβόντες τὴν ἑαυτῶν ἀδελφὴν καὶ μόνην τὴν Θησέως μητέρα Αἴθραν αἰχμάλωτον, ἕτερον δὲ μηδαμῇ μηδαμοῦ τῶν Ἀθηναίων μηδένα κακοποιήσαντες ὑπέστρεψαν οἴκαδε πᾶσι τῆς τόσης φιλανθρωπίας καὶ δικαιότητος κηρυττόμενοι.

book 1007a ἥντινα βάλλουσιν αἱ γυναῖκες ἐν τῇ μαστίχῃ.

book 1007b ἀπραγμοσύνη φυτόν, ὡς Ἀριστοφάνης φησὶν ὁ γραμματικός, ἐν Ἀκαδημίᾳ φυόμενον· ἢ ἀντὶ τοῦ “οὐ πολυπραγμοσύνης”.

book 1007c σημείωσαι, ὅτι τὰ μὲν τῶν δένδρων εἰσὶ φυλλοβόλα, τὰ δὲ ἀειθαλῆ, τὰ δὲ κρυψίφυλλα. φυλλοβόλα μὲν οἷον συκῆ, ῥοία, καρέα καὶ ἕτερα, ἀειθαλῆ δὲ οἷον μυρσίνη, δάφνη καὶ ἕτερα. κρυψίφυλλα δὲ οἷον ἐλαία, φοίνιξ, κυπάριττος καὶ τὰ τούτοις ὅμοια.

book 1007d μίλακος] εἶδος βοτάνης κοκκίνης.

book 1007e λεύκης p.i.m.] ἔοικεν ἡ λεύκη πλατάνῳ, μεταφυτευθεῖσα ὑπὸ Ἡρακλέος ἀπὸ τοῦ Ἅιδου εἰς τὰ Ὀλύμπια.

book 1007a, col. 2 ἡ λεύκη ὁμοία πλατάνῳ.

book 1012a στῆθος λιπαρόν: ἀθλητοῦ ἀνδρὸς ἀγῶσιν ἀεὶ διάγοντος καὶ ἀγωνιζομένου καὶ τὸ στῆθος ἐλαίῳ κεχρισμένου, ὡς διολισθάνοι τοὺς ἀντιπάλους, οὐ μὴν δὲ ἀνδρὸς ἀργοῦ διάγοντος ἐν ταῖς ἀγοραῖς καὶ πορνείοις, οἳ καὶ λιπαρώτερον τῶν συνεχῶν λουτρῶν ταῖς ἐλαιοχρισίαις ἐλαιοχυσίαις τῶν ἀθλητῶν στῆθος ἔχουσιν.

book 1012b χροιὰν λαμπρὰν: ἢ χαίρων ταῖς νίκαις τῶν ἀγώνων, ἢ ὅτι ἁπλῶς ἔργον μετέρχῃ, ἢ ὅτι τὰ γυμνάσια πέττει τὰ περιττὰ καὶ εὔχρουν καὶ κόσμιον καὶ εὔρρωστον τὸ σῶμα ποιεῖ, ἀργία δὲ πᾶν τοὐναντίον.

book 1013a ὤμους μεγάλους: τοιοῦτοι γὰρ οἱ τῶν ἀθλητῶν.

book 1013b γλῶτταν βαιάν: βραχυλογίαν, σημεῖον σωφροσύνης καὶ κοσμιότητος. τὰ μέτρα, εἰ βούλει, γράφε ὡς κεῖται τοῖς παλαιοῖς. ἀλλὰ νῦν τίς χρεία μέτρων, εἴτε ἐκείνων εἴτε τῶν ἐμῶν; ἅ φησιν οὗτος, ταῦτα καὶ νῦν καὶ χρειώδη μέτρα καθέστηκεν ἕτερα . καὶ πάντα, ὅσα ὁ δίκαιος λόγος νῦν φησιν, ἄριστα· πᾶν δὲ ἢ τέχνης ἐχόμενον ἢ ἀρετῆς ἢ κοσμιότητος νομίζεται καὶ ἄρτι λῆρός τε καὶ οὐδέν.

book 1013c βαιάν: βραχυλόγον.

book 1013c, col. 2 μικράν, ὥς γε μὴ φλυαρεῖν.

book 1013d μεγάλους] οἷοι τῶν γυμναζομένων.

book 1013e βαιάν] βραχυλόγον, σώφρονα λαλοῦσαν.

book 1014a πυγὴν μεγάλην: τὰ ἑδραῖα νῦν μέρη. οὕτω δέ φησιν ἢ ἕνεκα τοῦ κινῆσαι γέλωτα ἢ ὅτι οἱ ἀθληταὶ διὰ τὴν εὐτροφίαν καὶ εὐεξῆ εὐαξῆ καὶ γενναῖα τὰ σώματα ἔχουσιν. εἴποι δ’ ἄν τις· πῶς οὐ μεγίστην καὶ τὴν ποσθήν; ὅτι τὰ γυμναζόμενα μέρη λαμβάνει τὴν αὔξησιν, αὔξην, τὰ δὲ τοιαῦτα μέρη τούτοις ἀγύμναστα ἔργων γυμνασίων καὶ σωφροσύνης μεμελημένοις· τοὐναντίον δὲ τοῖς κιναίδοις καὶ ἀργοῖς καὶ ἀπράκτοις.

book 1014b πόσθην] μόριον, αἰδοῖον.

book 1015a οἱ νῦν] ἄνθρωποι.

book 1015b ἐπιτηδεύῃς] πράττῃς.

book 1016 χροιὰν ὠχράν: τοιοῦτοι γὰρ οἱ ἀργοὶ καὶ ἀδηφάγοι καὶ ἀγύμναστοι ὡς τῆς τροφῆς πέπανσιν καὶ πέψιν μὴ λαβούσης τῇ ἀργίᾳ.

book 1018 γλῶτταν μεγάλην: πολυλογίαν, φλυαρίαν.

book 1019a κωλὴν μεγάλην: ἣν εἶπε ποσθήν, νῦν κωλὴν λέγει.

book 1019b ψήφισμα μακρὸν: μακρὰ γράψεις ψηφίσματα, ὡς οἱ ἐν Ἀθήναις οὗτοι ἡμέτεροι ῥήτορες.

book 1019c ψήφισμα] κατηγορίαν.

book 1022a τῆς Ἀντιμάχου καταπυγοσύνης: βδελυρίας, αἰσχρότητος. πέντε δὲ ἦσαν Ἀντίμαχοι, νῦν δὲ τὸν ἱστοριογράφον ποιητὴν λέγει ὡραίαν ἔχοντα τὴν μορφήν.

book 1022b ὁ Ἀντίμαχος οὗτος 〈ὡσ〉 κίναιδος καὶ εὔμορφος καὶ θηλυμανὴς κωμῳδεῖται· δεύτερος ὁ ἐπὶ πονηρίᾳ κωμῳδούμενος· τρίτος ὁ δάκτυλος λεγόμενος· τέταρτος ὁ τραπεζίτης· πέμπτος ὁ ἱστοριογράφος, τάχα δὲ ὁ αὐτός ἐστι τῷ εὐμόρφῳ. ⟦? μωρῶν παλαιῶν ἔργα καὶ κλήσεις τάδε. Μακκὼ καὶ Μαργίτης τις καὶ Μελιτίδης καὶ Κόρυβος, σὺν οἷς καὶ Μαμμάκουθος καὶ Βουταλίων μωροί, 〈ὁ〉 Ὀρέστης τε ὁ παῖς τοῦ Ἑρμοκράτους υἱεῖς Ἱπποκράτους τε ἄλλοι τε πλείονες. Μακκὼ τῷ κατόπτρῳ μὲν

book 1022b τῷ ἑαυτῆς διελέγετο. Μαργίτης ἠρώτα τε· τίς ὁ γεννήσας ἐμέ; Μελιτίδης δὲ συζύγῳ τῇ ἰδίᾳ οὐδόλως ἐμίγνυτο ὡς πενθερόφοβος. ἐάσθω μοι Κόρυβος, ὅστις ἠρίθμει τὰ κύματα, ἕν, δύο καὶ τρία τε καταριθμῶν δεξιῶς, καὶ συγχέων δὲ ἀρχῆθεν ἀπηρίθμει. ἐάσθων καὶ ξύμπαντες, οὓς προειρήκαμεν.⟧

book 1024a ὦ καλλίπυργον σοφίαν: ὁ χορὸς τῶν Νεφελῶν τῷ δικαίῳ φησὶ λόγῳ· ὦ ἐπασκῶν καὶ μετερχόμενος, ἢ ἄλλοις διδάσκων, τὴν καλλίπυργον κλεινοτάτην σοφίαν. καλλίπυργον δὲ τὴν καλλίστως πυργοῦσαν καὶ ὑψοῦσαν τοὺς ταύτην μετερχομένους. αἰωνία γάρ ἐστιν ἡ ἐκ σοφίας ὕψωσις καὶ δόξα. παραμένει γὰρ καὶ μετὰ τὴν ἐνθένδε μετάβασιν καὶ οὐκ ἔστιν ἀκαριαία καὶ εὐμετάτρεπτος, ὡς ἡ χρηματικὴ καὶ τυχαία, ἧς καὶ ἐνταῦθα πολλῷ ὑπερτέρα ἡ ἐκ σοφίας τοῖς τέως ὀρθῶς τὰ πράγματα κρίνουσιν. καὶ πῶς γὰρ οὔ, ὅταν μὲν οὖν βούληται, ἀνδριάντας ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξυλίνους ἢ ἐκ χαλκῆς ὕλης ἢ ἄλλης κεκοινωμένους καὶ φθεγγομένους ποιοῦσα, καὶ βάθη καὶ μήκη πελαγῶν ἐκμετροῦσα τοῖς μηχανήμασι, καὶ κινοῦσα βάρη ἀλλόκοτα, ὡς καὶ τὴν γῆν πᾶσάν τινας μετόχους αὐτῆς ὑπισχνεῖσθαι κινεῖν, εἰ δοθῇ τις αὐτοῖς ἕτερος τόπος ἔξω τῆς γῆς, ἐν ᾧ τὴν βαρυουλκὸν μηχανὴν ἐπιστήσεται; τὸ περαιοῦσθαι ποταμοὺς

book 1024a πρὸς ἀνάρρουν, τομῇ ῥυθμιζόμενα πλοῖα τεκταίνεσθαι, τὸ δὲ μυριάδας στρατῶν ὑπερτρεχούσας ἀριθμοὺς τῶν δακτύλων διά τε γῆς καὶ θαλάσσης ἐστρατευμένους ἑνὸς ἀνθρωπαρίου γηρανδραρίου ἡττᾶσθαι τοῖς μηχανήμασιν, οἷος ἦν ὁ ἡμέτερος καὶ πάντων, ὧν εἴπω, πρεσβύτερος, ὁ βυζάντιος Φίλων, Ἀρχιμήδης καὶ Σώστρατος, Ἥρων καὶ Πάππος καὶ μυριάδες λοιπαί.

book 1024b χορὸς πρὸς τὸν δίκαιον.

book 1024c καλλίπυργον] μεγάλην.

book 1024d ἐπασκῶν] διδάσκων.

book 1025 σῶφρον] γρ. σοφόν.

book 1026a τότ’] ὅτε ἐδίδασκες τὰ τοιαῦτα.

book 1026b ἐπὶ τῶν προτέρων] χρόνων.

book 1030a ὦ κομψοπρεπῆ: ὦ λόγε ἀδικώτατε καὶ ἥττων κεκλημένε πανούργοις τοῖς κομψεύμασιν ἐπιμορφῶν τὴν μοῦσαν.

book 1030b πρὸς τὸν ἄδικον.

book 1030c ὦ] ἄδικε λόγε.

book 1030d κομψοπρεπῆ] ὑπερήφανον.

book 1030e ἔχων] ὁ.

book 1031a ὡς] ὅτι.

book 1031b ἀνήρ] ἤγουν ὁ δίκαιος.

book 1034a ἐντεῦθέν εἰσιν ἀμβικὰ τετράμετρα καταληκτικὰ μέχρι τοῦ “εὐρύπρωκτος εἶναι”.

book 1034b ἔοικε δεῖν] δέον ἐστί.

book 1034c δεῖν] χρείαν ὑπάρχει〈ν〉.

book 1035a ὑπερβαλεῖ] νικήσεις.

book 1035b γέλωτ’ ὀφλήσεις] ἤγουν γελασθῇς.

book 1035c ὀφλήσεις] ἀποδώσεις.

book 1036a καὶ μὴν πάλαι ἔγωγε ἐπνιγόμην: καὶ μὴν ἐγὼ πάλαι ἐπνιγόμην καὶ ἐβιαζόμην τὰ ἐντὸς καὶ ἐστενοχωρούμην καὶ ἔχρηζον ταῦτα πάντα, τὰ τοῦ δικαίου δηλονότι λόγου, συνταράξαι καὶ ἀνατρέψαι, ἐναντίαις γνώμαις καὶ ἀντιλογήμασιν ἑτέρων ἐννοιῶν.

book 1036b ἐπνιγόμην] ἐφλεγόμην.

book 1037 συνταράξαι] ἀνατρέψαι.

book 1038 ἥττων] ὁ ἄδικος.

book 1039a ἐν τοῖσι φροντισταῖσιν: τοῖς ἐρευνηταῖς τοῖς περὶ πάντων φροντίζουσιν. παίζων δὲ τοὺς φιλοσόφους λέγει.

book 1039b φροντισταῖσιν] φιλοσόφοις.

book 1041a καὶ τοῦτο: τὸ ἀντιλέγειν τοῖς δικαίοις καὶ νικᾶν, πλεῖν καὶ πλέον, ἢ μυρίων στατήρων, ἀντὶ τοῦ πλέον ὑπὲρ μυρίους στατῆρας καὶ νομίσματα, ἐστὶν ἄξιον. κἀνταῦθα τοῦ ἤθους Σωκράτους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διεψεύσθη, Πρωταγόραν δὲ τὸν Ἀβδηρίτην μιμεῖται. οὗτος γὰρ σύγχρονος ὢν Σωκράτους πρῶτος εὑρεῖν λέγεται μελέτην τοῦ ἥττονος λόγου, καίτοι πρὸ πόσων ἐτῶν Ὁμήρου μελετήσαντος τοῦτον τοῦ μηδὲν περί τινος λέγειν δοκοῦντος, λέγοντος δὲ περὶ πάντων;

book 1041b τοῦτο] τό τινα λαβόντα δίκην τῷ ἀδίκῳ λόγῳ νικᾶν.

book 1041c πλεῖν] πλέον.

book 1043 πέποιθεν] θαρρεῖ ὁ δίκαιος.

book 1044 λοῦσθαι] λούεσθαι.

book 1045 γνώμην] ἔννοιαν.

book 1046 ὅτι κάκιστόν ἐστι: τὸ θερμὸν λουτρόν· ἐκλύει ἀραιοῦν τοὺς ἀδήλους πόρους καὶ χαῦνον καὶ δειλὸν ποιεῖ τὸν ἄνθρωπον, ὥς που καὶ Πίνδαρος γράφει· "οὐδὲ θερμόν γε τόσσον ὕδωρ γυῖα μαλθακὰ τεύχει, τόσσον εὐλογία". καὶ γῆρας δὲ συντόμως ἐπάγειν φασί, τινὲς δὲ καὶ θάνατον, ὡς ἐξ Ἀπολλωνίου Φιλόστρατος ἐν τῷ τοῦ Ἀπολλωνίου βίῳ φησίν. κλεῖσαι τοὺς ἐν Ἀντιοχείᾳ λέγει λουτρῶνας δι' οἰκητόρων καὶ περὶ τῆς κλήσεως τῶν λουτρώνων λεγόντων εἶπεν· "ὁ βασιλεὺς ὑμῖν κακοῖς οὖσι μακροχρονίαν χαρίζεται."

book 1047a μέσον ἔχω σε λαβὼν: ἀπὸ τῶν ἐν παλαίστρᾳ κρατησάντων τὸν ἀντίπαλον ἐκ μέσου καὶ μὴ ἐώντων ἔξω φευκτεῖν.

book 1047b μέσον ... ἄφυκτον] ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων.

book 1048 τῶν] ἀπό.

book 1049 ψυχὴν] κατ' ἀνδρείαν.

book 1051a ποῦ ψυχρὰ: τὰ θερμὰ λουτρὰ ἡράκλεια οὕτω λέγονται· Ἡρακλεῖ πεπονηκότι πολλὰ τῷ γῆν καθαίρειν καὶ θάλασσαν Ἀθηνᾶ χαριζομένη θερμὰ λουτρὰ ἐν Θερμοπύλαις ἀνέδωκεν, ὥς φησι Πείσανδρος τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη ποιεῖ θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.

book 1051b Ἴβυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι ἡράκλεια λουτρὰ θερμῶν ὑδάτων, ἐξ ὧν τὰ θερμά τινές φασιν ἡράκλεια λέγεσθαι. οἱ δέ φασιν, ὅτι τῷ Ἡρακλεῖ πολλὰ μογήσαντι Ἀθηνᾶ λουτρὰ θερμὰ ἐπαφῆκεν, ὡς Πείσανδρος τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη ποιεῖ θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.

book 1052a "ἀνδρειότερος" εἶπεν, οὐ "ῥωμαλεώτερος", κάλλιστα τὴν ἀπόδοσιν ἐπαγαγὼν πρὸς τὸ "δειλότατον". ψυχῆς τὸ τολμᾶν, ἡ δὲ ῥώμη σωμάτων.

book 1052b ταῦτ' ἐστί, ταῦτ' ἐκεῖνα: ὁ δίκαιός φησι λόγος τούτων τῶν γελοίων ἀκούσας εὑρεσιλογιῶν (διὰ γὰρ πόνους ἀμέτρους καὶ νόσον ἅπαξ ἢ δὶς ὁ Ἡρακλῆς ἐφάνη χρησάμενος τοῖς θερμοῖς τούτοις λουτροῖς)· ταῦτ' ἐστὶν ἃ καθ' ἑκάστην ἡμέραν φλυαρούντων τῶν νέων τὰ βαλανεῖα μεστὰ βοῆς γίνονται καὶ θορύβων, κενοῦνται δὲ αἱ παλαῖστραι καὶ οὐ σεμνόν τι διδάσκεται δίδαγμα.

book 1052c ἀνδρειότερος] ἀνδρειότατος.

book 1053 δι' ἡμέρας] ὅλην τὴν ἡμέραν.

book 1055a εἶτα ἐν ἀγορᾷ, φησὶν ὁ ἄδικος λόγος, ψέγεις διάγειν· ἐγὼ δὲ καὶ Ὅμηρος ἐπαινῶ ἀγορητὴν καλῶν τὸν Νέστορα καὶ ἑτέρους. ἀστείως καὶ χαριέντως παρὰ τὴν ὁμωνυμίαν τῆς ἀγορᾶς κατασοφίζεσθαι καὶ παραλογίζεσθαι βούλεται.

book 1055b ἀγορᾷ] συναθροίσει.

book 1056 ἐποίει] ποιητικῶς ἔγραφε.

book 1057 ἀγορητὴν] δημηγόρον.

book 1058a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄνειμι δὴ ἐντεῦθεν ἐπὶ τὴν γλῶτταν: ἕνεκα τοῦ γελοίου ταῦτα πάντα πάντα ταῦτα προφέρει πραγματικωτέρως δεικνύων, ὅτι πᾶς ἀλιτήριος, ἀγοραῖος, ἀκόλαστος, ἄρρυθμος καὶ κίναιδος ἄνθρωπος ἐπίπροσθέν εἰσι πόσῳ τῶν κοσμίων καὶ συνετῶν.

book 1058b ὁδὶ] ἤγουν ὁ δίκαιος.

book 1059a νέους] γρ. νεανίσκους.

book 1059b φημι] καλὸν εἶναι μανθάνειν.

book 1060 χρῆναι] τοῖς νέοις.

book 1061a ὁ ἄδικός φησι λόγος· διὰ σωφροσύνην τίνι ποτὲ εἶδες γενόμενον ἀγαθόν; καὶ ὁ δίκαιος· πολλοῖς εἶδον ἀγαθὰ γεγονότα διὰ τὸ σωφρονεῖν. ὁ γοῦν Πηλεύς, φησί, διὰ τοῦτο τὴν μάχαιραν ἔλαβεν. (1064) ὁ ἄδικος λόγος τὴν μάχαιραν ἐπαναλαμβάνων φησί· μάχαιραν ἔλαβεν ὁ τρισάθλιος; ἀστεῖον καὶ θαυμαστὸν κέρδος· Ὑπέρβολος δὲ λυχνοπράτης ὢν οὐ διὰ μοχθηρίαν ἔλαβε τάλαντα πολλά, ἀλλ’ οὐ μάχαιραν; Τζέτζης δέ· νῦν τὸ πλεῖν καὶ πλέον, εἰ μὴ περισσῶς ἀττικῶς κεῖται, λέγει, οὐ μικρῶς αἰτιῶμαι.

book 1061b τῷ] ἐν τίνι.

book 1063a ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος. καί ποτε Ἱππολύτης τῆς Ἀκάστου γαμετῆς ἐρασθείσης αὐτοῦ καὶ μὴ δυνηθείσης πεῖσαι καὶ δὴ διαβολῇ χρησαμένης, ὡς ἐπεχείρει βιάσασθαι αὐτήν, Ἄκαστος τοῦτο μαθὼν καὶ λαβὼν εἰς ἐρημίαν καὶ τῶν ὅπλων γυμνώσας ἀφεὶς αὐτὸν ἀνεχώρησεν εἰπών· εἰ δίκαιος εἶ, σωθήσῃ. ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν ἡφαιστότευκτον αὐτῷ ἐχαρίσαντο δι’ Ἑρμοῦ καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. οἱ δέ φασιν, ὡς Ἄκαστος τὴν Πηλέως μάχαιραν ὑπὸ κόπρον βοῶν ἔκρυψεν, Χείρων δὲ ταύτην εὑρὼν δίδωσιν αὐτῷ.

book 1063b πολλοῖς] ἐν.

book 1063c πολλοῖς] ἀνθρώποις.

book 1063d διὰ τοῦτο] διὰ τὸ σωφρονεῖν.

book 1065 πλεῖν] πλέον.

book 1066 εἴληφε] κέρδος.

book 1067a καὶ τὴν Θέτιν ἔγημε: ὑποβολικὸς ὁ λόγος ἐγένετο νῦν. τοῦ δικαίου γὰρ λέγοντος, ὡς ὁ Πηλεὺς διὰ τὸ σωφρονεῖν μάχαιραν ἔλαβε, μέλλοντος εἰπεῖν· καὶ τὴν Θέτιν ἔγημεν, ὑπολαβὼν καὶ μεταξυλογήσας καὶ εἰπὼν τὸν ἴδιον λόγον τὸν περὶ τοῦ Ὑπερβόλου ὁ ἄδικος ἐπέσχεν αὐτὸν εἰπεῖν καὶ τὸ περὶ τοῦ γάμου τῆς Θέτιδος. αἱ δὲ ὑποβολαὶ ἤθους ἰδέας εἰσίν. νῦν δὲ τοῦ δικαίου ἐπενεγκόντος· καὶ τὴν Θέτιν ἔγημε διὰ σωφροσύνην, πάλιν, ἵνα τὸ ἠθικὸν ἀγωνιστικώτερον γένηται, καὶ πρὸς τοῦτο ἐπάγει ἀντίθετον ὑπερβαλλούσης χάριτος καὶ γλυκύτητος. καὶ τοιούτοις παικτέοις ὁ ἀλιτήριος παραδείκνυσι τῷ Τζέτζῃ ῥήτορος δύναμιν ὑπὲρ δύναμιν. εἰπόντος γὰρ τοῦ δικαίου· “καὶ τὴν Θέτιν ἔγημε διὰ τὸ σωφρονεῖν”, αὐτὸς γελοίως χάριεν καὶ εὐσθενέστατον ἐπάγει ἀντίθετον λέγων· καὶ εἶτα ἡ Θέτις αὐτὸν ὡς σώφρονα μισήσασα ἀπολιποῦσ’ ἀπολιποῦσα καὶ ὡς σώφρονα μισήσασα ᾤχετο. σωφρονῶν γὰρ οὐκ ἠδύνατο παννυχίζειν καὶ τελεῖν ἑορτὴν στρώμασι πρόσφορον· γυνὴ γὰρ χαίρει τοιούτοις. ἔπεισι δέ μοι θαυμάζειν, πῶς κἀνταῦθα ὁ ἀλιτήριος οὐκ ἐμνήσθη παλαιοῦ ὄντος τοῦ

book 1067a Τουλίου Σερβίου καὶ εἶπε· τὸν Τούλιον δὲ Σέρβιον γεγονότα δοῦλον αἰχμάλωτον ἡ Ταρκυνίου γυνὴ τοῦ βασιλέως Ῥωμαίων ὡς ἀσελγέστατον καὶ ἡδὺν παννυχίζειν οὐ μόνον οὐκ ἀπέλιπεν, ἀπολέλοιπεν, ἀλλὰ καὶ βασιλέα Ῥώμης πεποίηκεν. σὺ δέ, ὦ ἥλιε, ἠνέσχου ταῦτα ὁρᾶν. ταῦτα κἀκεῖνος, εἰ καὶ δοκεῖ γελοιάζειν, ὀδυνωμένῃ καρδίᾳ φησίν, ἵνα μὴ μακρηγορῶ, ὁρῶν ὅτι ἀεὶ τὰ χερείονα νικᾷ καὶ ῥεῖ τὰ χρηστά, Μίνδαρος δ’ ἀπερρύ[η]. ἀλλὰ καὶ ἱστορίας καὶ λέξεις τὰς

ἐαθείσας ῥητέον μοι. αἱ ἐαθεῖσαι ἱστορίαι εἰσὶν αὗται. ἱστορία: Πηλεὺς ὢν Αἰακοῦ καὶ Αἰγίνης υἱὸς σὺν Τελαμῶνι ὁμομητρίῳ Φῶκον τὸν ἐκ Ψαμάθης τῆς Νηρηΐδος ἀνεῖλον αὐτῶν ἀδελφόν. ὧν ὁ Πηλεὺς εἰς Φθίαν ἐλθὼν καθαίρεται ὑπὸ Εὐρύτου τοῦ Ἄκτορος. ἐν τῇ τοῦ καλυδωνίου δὲ κάπρου θηρεύσει ἀνελὼν ἄκων καὶ αὐτὸν τὸν καθήραντα Εὔρυτον εἰς Ἰωλκὸν φεύγει ἐκ Φθίας καὶ καθαίρεται ὑπ᾽ Ἀκάστου. Ἱππολύτη δὲ ἢ Ἱπποδάμεια ἡ Ἀκάστου γυνὴ ἐρασθεῖσα αὐτοῦ

book 1067a καὶ μὴ πεισθέντος κατεῖπε μᾶλλον αὐτοῦ ψευδῶς πρὸς τὸν Ἄκαστον. ὁ δὲ ὃν ἐκάθηρε κτεῖναι μὴ λογισάμενος ὅσιον ὡς ἐπὶ θήραν ἀγαγὼν εἰς τὸ Πήλιον καθεύδοντα τοῦτον κατέλειψε κρύψας τούτου τὴν μάχαιραν, ὡς ὑπὸ τῶν Κενταύρων ἀναιρεθῇ. Χείρων δὲ σῴζει τοῦτον ἐπιφανείς, εὑρὼν δὲ καὶ τὴν τούτου μάχαιραν δίδωσιν. (1068) κᾆτ᾽ ἀπολιποῦσά γ᾽ αὐτὸν: ἡ Θέτις τοὺς γεννωμένους παῖδας αὐτῇ ἐκ Πηλέως εἰς τὸ πῦρ βάλλουσα ἠθανάτου. ὡς δὲ καὶ τὸν Ἀχιλλέα τεκοῦσα ἐπέθηκεν εἰς τὸ πῦρ, ἰδὼν ὁ Πηλεὺς ἐβόησεν. καὶ Θέτις μὲν διαζευχθεῖσα Πηλέως πρὸς θάλασσαν ἐς τὰς ἀδελφὰς ἄπεισι Νηρηΐδας. Ἀχιλλέα δὲ οὕτω συνέβη παῖδα καταλειφθῆναι Πηλεῖ ἀφ᾽ ἑπτὰ παίδων φεψάλῳ σποδουμένων μοῦνον φλέγουσαν ἐξαλύξαντα σποδόν. (1070) σιναμωρουμένη: ἀνδρὶ πλησιάζουσα· σῖνος γὰρ τὸ αἰδοῖον. κρόνιππος: μωρὸς μέγιστος. τὸ “Κρόνος” γὰρ μωρός, τὸ “ἵππος” δὲ μέγιστος.

book 1067b Θέτιν] ἡ ἰδέα τοῦ ἤθους.

book 1068 ὑβριστὴς λάγνος.

book 1069a ἐν τοῖς στρώμασιν] συνουσιαστής.

book 1069b τὴν] κατά.

book 1069c παννυχίζειν] ὥστε ἀγρυπνεῖν.

book 1070a ὡραῖον.

book 1070b γυνὴ] ἡ.

book 1070c σιναμωρουμένη] συνουσιαζομένη.

book 1070d κρόνιππος] ἀρχαῖος.

book 1071 ἅπαντα] τὰ κακά.

book 1072a ἄνεστιν (sic)] ἃ ἔνεστιν.

book 1072b ἀποστερεῖσθαι] εἰ σωφρονεῖς.

book 1073a κότταβος εἶδος παιγνίου συμποσιαστικοῦ τοιόνδε· ὄρθιον ἵστατο ξύλον ἐν τῷ κωμαστηρίῳ ζυγὸν ἔχον ἐπικείμενον ῥᾳδίως καταφερόμενον. περὶ δὲ πλάστιγγα τοῦ ζυγοῦ ἑκατέραν ἵστατο λεκανίσκη ἀνδριαντάριον ἔχουσα μέσον αὐτῆς προσφυές. βραχὺ δὲ τῶν πλαστίγγων αἱ κεφαλαὶ τῶν ἀνδριανταρίων ἦσαν κατώτεραι, ὡς καταρρεψάσας τὰς πλάστιγγας ταῖς κεφαλαῖς τούτων προσκρούειν καὶ ἦχον ἀποτελεῖν. πληροῦντες οὖν οἴνου τὸ στόμα οἱ κωμασταὶ ἐξαπέπτυον εἰς τὴν πλάστιγγα καὶ αὕτη πληγεῖσα τοῦ οἴνου τῷ βάρει, ὃ ὑγρὸν καὶ λατάγην ἐκάλουν, ὡς καὶ τὸ ταύτης ἐκτίναγμα, ἐς κορυφὴν ἔπαιε τὸ ζῳδάριον. καὶ τοῖς κωμασταῖς νικητὴς ὁ τοιοῦτος εἶναι ἐκρίνετο.

book 1073b κοττάβων] ἤχων.

book 1075a εἶεν] ἔστωσαν.

book 1075b πάρειμ᾽] ἔρχομαι.

book 1077 λέγειν] εἰς τό.

book 1080a ὡς] ὅτι.

book 1080b ἐπανενεγκεῖν] τὴν αἰτίαν.

book 1081

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς] ὅτι.

book 1082a ἐργασία ἀπὸ μείζονος.

book 1082b μεῖζον] εἶναι.

book 1083a τί δ' ἢν ῥαφανιδωθῇ: μοιχοὶ πρὶν οἱ πλούσιοι ἁλισκόμενοι ἀπελύοντο χρήμασι, τοὺς πένητας δὲ πανδήμως τιθέμενοι μέσον τῆς ἀγορᾶς τὰς τῶν διδύμων τρίχας ἀνέσπων ἐκ πυρὸς θερμὴν στακτὴν ἐπιπάττοντες καὶ ῥαφανίδων οὐραῖα ἐνέβαλλον εἰς τὰς ὀπὰς τῶν πρωκτῶν ἄλλα πολλὰ προτιμωρησάμενοι.

book 1083b σοι] τινι.

book 1083c τιλθῇ] κατασπασθῇ.

book 1084 γνώμην] διάνοιαν.

book 1086 μεῖζον] κακόν.

book 1087 τοῦτο] εἰς.

book 1088a ἄλλο] εἴπω.

book 1088b φράσον] συνηγοροῦσιν ἐκ τίνων;

book 1095 οὐδὲν] ἀγαθόν.

book 1096 τῶν] ἀπό.

book 1101 τουτονί] τὸν Σωκράτην.

book 1102a τί δῆτ' ἐρεῖς: τί δῆτα, φησίν, εἴπῃς, ἐὰν εἰς τοῦτο νικηθῇς ὑπ' ἐμοῦ; ἐκ τῶν παλαιῶν, εἰ θέλεις, γράφε τῇδε τὰ μέτρα.

book 1102b ἡττήμεθ' ὦ κινούμενοι: ἄδηλον οἱ παλαιοί φασι τοῦτο, τίνος ἐστίν, ἢ τοῦ κρείττονος λόγου ἢ Φειδιππίδου. Τζέτζης δὲ τὸ μὲν "ἡττήμεθα" τοῦ κρείττονος λόγου φησὶν εἶναι, τὸ δὲ "ὦ κινούμενοι" τῷ Φειδιππίδῃ προσάπτει. κινουμένους δὲ νοεῖν λέγει τοὺς προφερομένους ἐκ τοῦ ἥττονος λόγους ὡς εὐτραπέλους τῷ ὄντι καὶ εὐκινήτους.

book 1102c κινούμενοι] χορέ.

book 1103 δέξασθέ] δεύα.

book 1105a τί δῆτα; πότερον: οὐδεμία δυσχέρεια ἐνταυθοῖ, ἐπιδρομάδην δέ μοι λεκτέον ἃ χρή. τί δῆτα, δή; βούλει λαβών σου τὸν υἱὸν ἐπάγεσθαι οἴκαδε, ἢ διδάσκω λέγειν; καὶ ὁ Στρεψιάδης· δίδασκε καὶ κόλαζε καὶ παίδευε καὶ μέμνησο, ὅπως στομώσῃς, ἢ ὅπως καὶ πῶς στομώσεις καὶ εὔστομον αὐτὸν ποιήσειας, τὴν μὲν ἑτέραν καὶ μίαν, αὐτοῦ γνάθον καὶ σιαγόνα καὶ παρειάν, οἵαν καὶ ὁποίαν ἢ δυνατήν, ἐν ταῖς σμικραῖς δίκαις, τὴν δὲ ἑτέραν ἐς τὰ μείζονα ἤτοι ἐς πολιτικὰς καὶ δημοσίας ὑποθέσεις.

book 1105 τὸ δὲ "στομώσεις", ὀξυνεῖς, πάντες παλαιοί τε καὶ νέοι μεταφορικήν φασιν

book 1105a, col. 2 τὸ "στομώσεις" ἀντὶ τοῦ "ὀξυνεῖς" πάντες παλαιοί τε καὶ νέοι φασί, μεταφορικὴν λέγοντες

book 1105a εἶναι τὴν λέξιν ἀπὸ τῶν ὀξειῶν μαχαιρῶν. Τζέτζης δὲ πᾶσι τοὐναντίον φησὶν ἀπὸ στομάτων μᾶλλον ἀνθρώπων ἢ καὶ θηρίων μαχαίρας λέγεσθαι στόμα.

book 1105b πότερον] ἆρα.

book 1106 βούλει] θέλεις.

book 1107 ὅπως] καὶ πῶς.

book 1108a εὖ μοι στομώσεις] εὔστομον αὐτὸν ποιήσειας.

book 1108b ἐπὶ μὲν θατέραν] τὴν μὲν μίαν γνάθον.

book 1109a

οἷαν] δυνατήν.

book 1109b δικιδίοις] μικραῖς δίκαις.

book 1110a οἷαν] δυνατήν.

book 1110b τὰ μείζω πράγματα] πολιτικὰς καὶ δημοσιακὰς δίκας.

book 1111a παρέλκει τὸ “ἀμέλει”. δεξιὸν λάβῃς τοῦτον σοφιστήν. σοφιστὴν ἢ σοφὸν ἁπλῶς ἢ παραλογιστὴν καὶ κατασοφιζόμενον τοὺς ἀντιλέγοντας. (1112) πρὸς ταῦτα ὁ Φειδιππίδης· κομιεῖται μὲν οἶμαι οὐ σοφόν, ὠχρὸν δέ, οἷος καὶ ὁ Χαιρεφῶν, καὶ τρισάθλιον.

book 1111b ἀμέλει] ἀφροντίστει.

book 1111c κομιεῖ] λάβῃς.

book 1111d δεξιόν] ἐπιτήδειον.

book 1112 κακοδαίμονα] λάβῃς.

book 1114 ταῦτα] εἰς.

book 1115a τοὺς κριτὰς ἃ κερδανοῦσιν: ὁ χορὸς τῶν Νεφελῶν φησι πρὸς τοὺς θεατάς· διὰ τοὺς κριτὰς βουλόμεθα ὑμῖν φράσαι, ἃ κερδανοῦσιν ἐκ τῶν δικαίων, ἢ βουλόμεθα ὑμῖν τοῖς θεαταῖς φράσαι, ἃ τοὺς κριτὰς καὶ οἱ κριταὶ κερδανοῦσιν ἐκ τῶν δικαίων, ἤν τι τόνδε τὸν χορὸν ὠφελῶσιν. ὁ νοῦς τοῦ παρόντος χωρίου τοιοῦτός ἐστιν· ἃ βούλονται οἱ ποιηταὶ αὐτοῖς γίνεσθαι, ὑπεμφαίνουσι καὶ λέγουσι τοῖς χοροῖς αὐτοῖς χρώμενοι ὡς οἰκείοις προσώποις. νῦν οὖν ὁ Ἀριστοφάνης ἐφιέμενος νίκης διὰ τοῦ χοροῦ φησι πρὸς τοὺς θεατάς· βουλόμεθα ὑμῖν φράσαι, ὅσα κερδανοῦσιν οἱ κρινοῦντες ἡμᾶς τῶν ἀκροατῶν νίκης ἀξίους. πρῶτα γὰρ ἐὰν ἐν καιρῷ τοῦ ἀρότρου ἀροτριᾶτε,

book 1115a πρώτοις ὑμῖν ὕσομεν, καὶ ὅσα φησὶ τροπικῶς γεωργικῶς. τὸ δὲ φανερὸν τῆς ἐννοίας καὶ ἀσχημάτιστον τοιοῦτόν ἐστιν· οἳ ἐμὲ τῶν ἀκροατῶν ἄξιον νίκης ἐροῦσι τῇ παρούσῃ κρίσει, κἀγὼ αὐτῶν ποτε ὑπερλαλήσω μυρία, εἴτε δημοσίαν ἀρχὴν μέλλουσιν ἐγχειρίζεσθαι ἢ ἐπιγαμίας ποιεῖν. κἂν κατ’ αὐτῶν τις χολᾷ, ἐγὼ ἐκείνῳ ἀντιπεσοῦμαι καὶ ὑπερμαχήσω αὐτοῦ. ἢν δ’ ἀτιμάσῃ ἐμὲ καὶ ἡττηθῆναι ποιήσῃ, διαβαλῶ αὐτὸν κωμῳδῶν, ὡς μήτ’ ἀρχῆς ἐπαξίας μήτε γάμου προσφόρου τυχεῖν. ὁ νοῦς οὗτος σύμπας ἐστίν, ἵνα μὴ μακρηγορῶ.

book 1115b τοὺς] διά.

book 1115c τοὺς κριτὰς] οἱ κριταί.

book 1115d 1115] παράβασις.

book 1116a ἐκ τῶν δικαίων] κατὰ τὸν τοῦ δικαίου λόγον.

book 1116a, col. 2 ὑμεῖς] ἡμεῖς.

book 1116b τῶν δικαίων] τοῦ δικαίου.

book 1120a πιέζειν] ἀφανίζειν.

book 1120b ἐπομβρίαν] ὥστε πιέζειν τοὺς ἀγρούς.

book 1122 οἷα] ὁποῖα πάθη.

book 1125a ἀποκεκόψονται] ἀποθραυσθήσονται.

book 1125b σφενδόναις] στρογγυλαῖς χαλάζαις.

book 1127 χαλάζαις] διαλέξεσι, ὑβρίσεσι.

book 1129a ὕσομεν τὴν νύκτα πᾶσαν: ἀεὶ λαθραίως κατ’ αὐτοῦ λέγοιμεν.

book 1129b ὕσομεν τὴν νύκτα] ἤγουν ὕβρεις ἐπάγειν αὐτῷ λαθραίως.

book 1130a τυχεῖν ὢν: ἀντὶ τοῦ “εἶναι”· παρέλκον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1130b ἐν Αἰγύπτῳ] διότι οὐ βρέχει, ἢ ὅτι ἔχει λῃστάς.

book 1130c τυχεῖν ὢν] ἀντὶ τοῦ “εἶναι”.

book 1131a πέμπτη, τετράς, τρίτη: ἐντεῦθεν μετὰ τοὺς τετραμέτρους ἰαμβικὰ τρίμετρα κγʹ. ὁ Στρεψιάδης δὲ τοὺς δανειστὰς πτοούμενος καὶ τὴν καταβολὴν τῶν χρεῶν καὶ τῶν τόκων, ἀριθμεῖ τὰς τῆς σελήνης ἡμέρας καὶ σκοπεῖ, πότε αὐτῆς ἡ τριακοστὴ ἐπισταίη, ἡ καὶ ἕνη καὶ νέα καλουμένη, ὅτε εἰς δικαστήρια τοὺς χρεώστας εἷλκον οἱ τότε δανείζοντες, καί φησιν ἀριθμῶν· ἡ δεῖνα καὶ δεῖνα καὶ δεῖνα ἡμέρα, εἶτα ἡ ἕνη τε καὶ νέα τῆς σελήνης, ἣν καὶ πτοοῦμαι καὶ μισῶ. τότε γὰρ οἱ τοκογλύφοι καὶ δανεισταὶ κινοῦντες δικαστήρια ἕλκουσι καὶ ἀπολέσαι με ἀπειλοῦσιν. ἐμοῦ δὲ μικρὰ καὶ δίκαια αἰτουμένου, εἰς τὰ μὲν βραχὺν ἀναμεῖναι, τὸ δὲ λαβεῖν, τὸ δὲ συγχωρῆσαι, οὐ θέλουσιν, οὐδὲ πείθονται,

book 1131a ἀλλὰ λοιδοροῦσί με ὡς ἄδικον. νῦν οὖν δικαζέσθωσαν, εἰ Φειδιππίδης μεμάθηκεν. καὶ ταῦτα εἰπὼν ἄπεισιν ἐς τοῦ Σωκράτους σάκκον ἀλεύρου ἐκείνῳ κομίσας, καὶ μεμαθηκότα τὸν υἱὸν λαβὼν ὑποστρέφει σκιρτῶν. οὗτος ὁ σύμπας νοῦς τοῦ παρόντος χωρίου λόγου ἐστίν.

book 1131b οὕτω ἠρίθμουν οἱ Ἀθηναῖοι. τὰς μὲν ἀπὸ νεομηνίας ὁμοίως ἡμῖν ἀριθμοῦσιν· αʹ, βʹ, γʹ, δʹ καὶ καθεξῆς ἕως δεκάτης, εἶτα ιαʹ, ιβʹ, ιγʹ ἕως εἰκάδος, εἶτα, ἣν ἡμεῖς καʹ, θʹ φθίνοντος αὐτοί φασιν, εἶτα ηʹ ἕως ἕνης τε καὶ νέας. τὴν δὲ κβʹ Ἀθηναῖοι θʹ φθίνοντος ἐκάλουν καὶ τὴν εἰκοστὴν τρίτην ηʹ φθίνοντος καὶ τὴν κδʹ ζʹ καὶ 〈τὴν〉 κεʹ ϛʹ καὶ τὴν κϛʹ εʹ καὶ τὴν κζʹ δʹ φθίνοντος καὶ τὴν κηʹ γʹ καὶ τὴν κθʹ βʹ φθίνοντος, εἶτα τὴν τριακοστὴν ἕνην τε καὶ νέαν.

book 1131b, col. 2 νῦν δὲ τὸ περὶ τῶν ἡμερῶν τῆς σελήνης σαφηνιστέον μοι. πέμπτη, τετράς: Ἀθηναῖοι τὰς σεληναίας ἡμέρας εἰς τρεῖς δεκάδας διῄρουν. καὶ τὰς μέχρι μὲν τῆς πρώτης δεκάδος οὕτως ἠρίθμουν, ὥσπερ ἡμεῖς, ἢ πρώτη ἱσταμένου καὶ καθεξῆς, πρώτη, βʹ, τριάς, ἕως δεκάτης, ἣν πρώτην δεκάδα καὶ δεκάτην ἱσταμένου ἐκάλουν. ἐντεῦθεν δὲ μέχρι τῆς εἰκοστῆς, ἥτις ἐστὶ καὶ δευτέρα δεκάς, οὕτω· τὴν ἑνδεκάτην λέγοντες πρώτη ἐπὶ δέκα ἢ πρώτη ἐπὶ δεκάδι, δευτέρα ἐπὶ δεκάδι, τρίτη ἐπὶ δέκα, τετάρτη ἐπὶ δέκα, εʹ ἐπὶ δέκα, καὶ τὴν ἑκκαιδεκαταίαν μέχρι τῆς ἐννεακαιδεκάτης, ἢ ϛʹ, ζʹ, ηʹ, θʹ πρὸς δέκα. ἢ τὴν ἑκκαιδεκαταίαν μὲν ἕκτην δευτέραν, τὴν ιζʹ ἑβδόμην δευτέραν, ὀγδόην δευτέραν, θʹ δευτέραν. τὴν δὲ εἰκοστὴν μεγάλην εἰκάδα καὶ δεκάδα φθίνοντος. ἐκ δὲ τῆς καʹ μέχρι τῆς κθʹ οὕτως ἔλεγον καὶ ἠρίθμουν· ἐννάτη φθίνοντος ἡ εἰκο-

book 1131b, col. 2 στὴ πρώτη, ὀγδόη φθίνοντος, ζʹ φθίνοντος, ϛʹ φθίνοντος, εʹ φθίνοντος, δʹ φθίνοντος, γʹ φθίνοντος, βʹ φθίνοντος, πρώτη φθίνοντος ἡ εἰκοστὴ ἐννάτη, ἕνη δὲ καὶ νέα ἡ λʹ. ταῦτα μὲν εἶπον, ὡς οἱ πρίν· νῦν δὲ καὶ τοῦτο τζετζικώτερον διδακτέον μοι. Ἀθηναῖοι τὰς τῆς σελήνης ἡμέρας εἰς τρεῖς δεκάδας διῄρουν, πρώτην, δευτέραν καὶ τρίτην. καὶ ἀπὸ μονάδος αὐτῆς μέχρι δεκάδος πάντας τρισσῶς τοὺς ἀριθμοὺς ἔλεγον· πρώτη μονὰς, δευτέρα μονὰς ἡ ἑνδεκάτη, τρίτη μονὰς ἡ καʹ· πρώτη δυὰς ἡ δευτεραία τῆς σελήνης, δευτέρα δυὰς ἢ μέση δυὰς ἡ δωδεκάτη, τρίτη δυὰς ἡ εἰκοστὴ δευτέρα. οὕτω καὶ πάντας τοὺς ἀριθμοὺς μέχρι τῶν δέκα τριπλῶς ἠρίθμουν. ἢ πρώτας, δευτέρας καὶ τρίτας μονάδας, δυάδας, τριάδας καὶ τὰ λοιπὰ λέγοντες, ὡς καὶ πρώτην δεκάδα, δευτέραν δεκάδα τὴν κʹ, τρίτην δεκάδα τὴν τριακοστήν, ἤτοι τὴν ἕνην καὶ νέαν. ἢ τὰς ἀπὸ

book 1131b, col. 2 τῆς πρώτης μονάδος μέχρι καὶ ὅλης αὐτῆς τῆς πρώτης δεκάδος πρώτας μονάδας, δυάδας, τριάδας, δεκάδας ἢ ἱσταμένου ἔλεγον. τὰς ἀπὸ ἕνδεκα δὲ καὶ μέχρι τέλους αὐτῆς κʹ ἢ ὡς καὶ ἡμεῖς ταύτας ἐκάλουν· πρώτη ἐπὶ δέκα, βʹ ἐπὶ δέκα, ἐννάτη ἐπὶ δέκα, ἢ δευτέρας ἢ μέσας μονάδας, ἐννάδας, ὡς καὶ τὰς εἰκάδας αὐτῆς ἢ δευτέρας ἢ μέσας δεκάδας ἢ μεγάλας εἰκάδας ἢ δεκάδας φθίνοντος. ἀπὸ γὰρ ἑκκαιδεκαταίας μέχρι καὶ κθʹ τὸ “φθίνοντος” προσετίθουν. τὴν κʹ οὖν, ὡς ἔφην, ἢ μεγάλην εἰκάδα ἐκάλουν ἢ δευτέραν δεκάδα ἢ μέσην δεκάδα ἢ δεκάδα

φθίνοντος. τὴν κα′ δὲ οὐχὶ ἐννάτ〈ην〉 φθίνοντος, ὡς οὗτοι εἰπεῖν ἠπατήθησαν ἐκ τοῦ πέμπτη, τετράς, γ′, β′, ἕνη, καὶ τὰς λοιπὰς ἐντεῦθεν, ὥσπερ ἐνόμισαν·

book 1131b, col. 2 ἀλλὰ πρώτης ἱσταμένου λεγομένης τῆς πρώτης καὶ τῆς ια′, τὴν κα′ πρώτην φθίνοντος, τὴν κβ′ δευτέραν φθίνοντος καὶ καθεξῆς, ὡς καὶ τὴν κθ′ ἐννάτην φθίνοντος ἔλεγον, τὴν δὲ τριακοστὴν ἕννην καὶ νέαν, ἕνην ὡς πάλιν πρώτην μονάδα, νέαν ὡς ἀρχηγὸν ἑτέρου κύκλου σελήνης, οὕνεκεν ὀλλυμένη περ ἀέλπτως γίνεται αὖθις, ὡς Ὀρφεὺς ἐν Ἐφημερίσι φησίν. ὃ δέ φησι Στρεψιάδης, καὶ αὐτοὺς ἀπατῆσαν τοιαῦτα εἰπεῖν καὶ ἡμᾶς φλυαρῆσαι μακρηγοροῦντας, τοιοῦτόν ἐστιν. εἰς κς′ σελήνης παράγεται τῷ κωμικῷ Στρεψιάδης λέγων ταυτί· πέμπτη, τετρὰς καὶ τὰ λοιπά. ἤτοι ἐκ τῆσδε τῆς σεληναίας εἰκοστῆς ἕκτης, ἀριθμουμένης καὶ αὐτῆς, μέχρι τῆς λ′, τῆς καὶ ἕνης καὶ νέας,

book 1131b, col. 2 ἀπολείπονταί μοι πέντε ἡμέραι, ἐκ τῆς αὔριον δὲ τέσσαρες, εἶτα τρεῖς, δύο καὶ ἡ ἕνη, ἣν καὶ πέφρικα καὶ βδελύττομαι. οὕτως ἡ ἀλήθεια ἐξηγηθῆναι καὶ σαφὴς ἦν καὶ σύντομος.

book 1131c πέμπτη] κς′.

book 1131d τετράς] κζ′.

book 1131e τρίτη] κη′.

book 1131f δευτέρα] κθ′.

book 1131g δευτέρα] εἶναι.

book 1133 βδελύττομαι] μισῶ.

book 1134 ἕνη τε καὶ νέα] ἤγουν ἡ τριακοστή.

book 1135 οἷς] ἀπ’ ἐκείνων.

book 1136a πρυτανεῖα: ἐκβιβαστήρια δίκης. ἐλάμβανον δὲ ταῦτα οἱ πρυτάνεις. ὁ δὲ νοῦς· λέγει· ἐκβιβαστήρια δίκης ποιήσει με δοῦναι τοῖς πρυτάνεσι βαρύτατα.

book 1136b θήσειν (sic)] κινήσας.

book 1136c πρυτανεῖ’] δημόσια ἢ παλάτια.

book 1138 τὸ μέν τι] τοῦ χρέους.

book 1145a ἠμί] γρ. φημὶ ἠμί πως.

book 1145b Στρεψιάδην ἀσπάζομαι] φιλόσοφος χαιρετισμός.

book 1146a τουτονὶ: θύλακον ἀλεύρου μεστὸν δίδωσι τῷ Σωκράτει. λαβέ: λάβε· ἀττικῶς.

book 1146b τουτονὶ] τὸν θύλακα μεστὸν ἀλεύρου.

book 1147a χρὴ γὰρ ἐπιθαυμάζειν τὸν διδάσκαλον: ἤτοι θαυμάζοντα αὐτὸν καὶ διδόναι τι.

book 1147b ἐπιθαυμάζειν τι] μεταδιδόναι τι.

book 1149 ὃν ἀρτίως: ἀττικῶς ἄρτι ἀντὶ τοῦ “νῦν”, ἀρτίως δὲ ἀντὶ τοῦ “πρὸ μικροῦ”. ἡμεῖς δὲ ἄρτι κυρίως τὸ “νῦν” φαμεν, ἀρτίως δὲ τὸ “ὑγιῶς καὶ ὁλοκλήρως”.

book 1150a ὦ παμβασίλεια: δαίμονά τινα Ἀπαιόλην ἤτοι παραλογιστικὴν καὶ ἀπατητικὴν ὁ Στρεψιάδης πλάττει καὶ ταύτῃ χαίρει θαρρῶν καὶ τὰς ἐλπίδας ἀνατιθείς.

book 1150b ἀδικία· ἀπὸ τοῦ “ἀπαιολεῖν” καὶ κινεῖν καὶ στερεῖν.

book 1150c παραλογισμός.

book 1150d Ἀπαιόλη] ἀπάτη.

book 1153 παρῆσαν] παρῶσι.

book 1154a τὰν] τήν.

book 1154b ὑπέρτονον] μεγαλόηχον, τὴν ὑπὲρ τὸν ἐμὸν τόνον.

book 1155 ὀβολοστάται] καμπανισταί.

book 1156a ἀρχεῖα: χάρται, λίβελλοι, δικαστήρια. καὶ τόκοι τόκων: ὑπερηυξημένων γὰρ τῶν τόκων καὶ πολλῶν γινομένων καὶ ὑπὲρ τούτων οἱ δανεισταὶ καὶ ἐνέχυρα καὶ τόκους ἀπῄτουν.

book 1156b ἀρχεῖα] χάρται καὶ λίβελλοι.

book 1160a ἀμφήκει γλώττῃ: ἀμφοτερόγλωσσος, εὔστομος, περιδέξιος (1161) γεγονώς. πρόβολος: προεστώς, βοηθὸς ἐμοῦ, πύργος, ἀσφάλεια. (1162) λυσανίας: λύων θλίψεις πολλῶν δυσχερῶν πατρικῶν. τὰ δὲ τοιαῦτα δριμέα γελαστά εἰσι καὶ ψυχρὰ καὶ καταφοραῖς καὶ σφοδρότησι πρέποντα καὶ γελοιώδεσι καὶ κωμικοῖς λόγοις. ἀλλαχοῦ δὲ πανταχοῦ ἀθυρματώδη τε καὶ γελοῖα, οὗτος δὲ τὰ Σοφοκλέους διασύρων ταῦτά φησιν. λέγει γὰρ Σοφοκλῆς· “Ζεὺς ἄνοστος ἄγοιτο νικομάχαν καὶ παυσανίαν καὶ Ἀτρείδαν”.

book 1160b ἀμφήκει] ἀμφοτέρωθεν ἠκονημένη.

book 1161 πρόβολος] βοηθός.

book 1162 λυσανίας] λύων τὰς ἀνίας.

book 1165 ὦ τέκνον: ὡς χρειώδη νῦν τῷ καιρῷ τὰ τοῦ Εὐριπίδου παραλαμβάνει, ἅμα καὶ διασύρων αὐτὰ εἰς εὐτέλειαν.

book 1166 ἄϊε] ἄκουε.

book 1170a ἰοῦ ἰοῦ: ἐπὶ χαρᾶς περισπᾶται, σχετλιαστικὸν δὲ ὀξύνεται. πᾶσα γὰρ δίφθογγος τελικὴ εἰς υ λήγουσα καὶ ἐφ’ ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται. σεσημείωται τρία ταῦτα· τὸ “ἰδού” ἀντὶ τοῦ “ἄρτι”, τὸ “ἰού” σχετλιαστικόν, τὸ “οὔ” ἀπαγορευτικόν. ἐκεῖνα δὲ ὀξύνεται πρὸς ἀντιδιαστολὴν τούτων· τοῦ “ἰδοῦ” ἀντὶ τοῦ “θέασαι” ἀττικῶς, “ἰοῦ” τοῦ βέλους καὶ τῆς ἰώσεως, καὶ “ἰοῦ” τοῦ “ἑνός”, καὶ “ἰοῦ”, ὡς νῦν, χαρμοσύνου ἐπιρρήματος, καὶ “οὗ” τοῦ “οὕτινος”.

book 1170b ἰοῦ p.i.m.] τὸ “ἰοῦ” ἐπὶ χαρᾶς περισπᾶται, [τὸ] δὲ σχετλιαστικὸν [ὀ]ξύνεται.

book 1171 τὴν χροιὰν ἰδών: θεασάμενός σε ὠχρὸν ὡς φιλόσοφον. τὰ διὰ τοῦ οια καθαρὰ δισύλλαβα θηλυκὰ διφθόγγῳ μὲν παραληγόμενα ὀξύνεται· χροιά, ῥοιά, ποιὰ καὶ τὰ ὅμοια, μονοφθόγγῳ δὲ βαρύνεται· χρόα, ῥόα, πόα. Ἀττικοὶ δὲ καὶ τὰ διφθόγγῳ παραληγόμενα βαρύνουσιν ἤτοι παροξύνουσι· χροία γὰρ καὶ ῥοία καὶ ποία φασίν.

book 1172a ἰδεῖν] κατὰ τὸ εἶδος.

book 1172b ἐξαρνητικὸς] ἀρνεῖσθαι δυνάμενος.

book 1173 καὶ τοῦτο τοὐπιχώριον ἀτεχνῶς καὶ φανερῶς, ἐπανθεῖ καὶ ἐπιφαίνεται, τῇ χροιᾷ σου, ἤτοι ἐκ τῆς χροιᾶς σου καὶ φιλοσόφου ὠχρότητος φαίνῃ, ὅτι ἐξαρνητικὸς καὶ ἀποστερητικὸς γέγονας καὶ πρὸς τοὺς δόντας σοί τι μέλλεις ἀπαρνούμενος καὶ ἀποτρέπων αὐτοὺς καὶ ἀποσοβῶν προσποιεῖσθαι αὐτοὺς μὴ γινώσκειν καὶ τῷ καθενὶ αὐτῶν λέγειν· τί λέγεις σύ; ὅπερ ἐπιχωριάζει καὶ γίνεται πολὺ ἐν ταῖς Ἀθήναις.

book 1174a ἀτεχνῶς] ἀκριβῶς.

book 1174b ἐπανθεῖ] ἀκμάζει.

book 1175 κακουργοῦντ’ οἶδ’] γρ. κακουργοῦνθ’ οἷα.

book 1176a ἀττικὸν βλέπος: ἔνεστι δὲ καὶ τῷ προσώπῳ σου βλέπος καὶ βλέμμα, ἀττικὸν καὶ ἀθηναῖον, ἤτοι πανοῦργον. τὸ “βλέπος” δέ, τὸ βλέμμα, μεταπλασμός· πάντες δὲ οἱ μεταπλασμοὶ ἀττικῆς εἰσι διαλέκτου.

book 1176b [δι]ασύρει τοὺς [Ἀτ]τικοὺς ὡς πανούργους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1176c προσώπου] σου.

book 1176d ἀττικὸν βλέπος] πανοῦργον βλέμμα.

book 1177a νῦν οὖν ὅπως σώσεις με: νῦν οὖν—ἀττικῶς λείπει τὸ “φρόντισον”—ὅπως καὶ ἵνα σώσεις με, σώσῃς με ἀντὶ τοῦ “ἵνα σώσῃς με”, ἢ φρόντισον, ὅπως καὶ πῶς σώσεις ἐμέ, ἐπεὶ καὶ ἀπώλεσας. διὰ σὲ γὰρ πρὶν ἁρματηλατοῦντα τόσοις περιπέπτωκα χρέεσιν.

book 1177b ὅπως] φρόντιζε.

book 1177c κἀπώλεσας] σύ.

book 1178 φοβεῖ δὲ δὴ τί: καὶ ὁ Στρεψιάδης· “τὴν ἕνην τε καὶ νέαν”. καὶ (1179) ὁ Φειδιππίδης· ἔστι τις ἡμέρα διττοῖς ὀνόμασι καλουμένη; παραγράφεται τὴν ἡμέραν ἐκ τῆς διπλῆς αὐτῆς κλήσεως λέγων· τί φής, ὦ πάτερ; ἔστι τις ἡμέρα διοκλητιανὴ καὶ κλήσεις ἔχουσα δύο, ἵνα καὶ Τζέτζης, ὡς Παῦλος τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς Ἕλλησιν ὡς Ἕλλην, τοῖς παίζουσιν ὡς παίζων καὶ τοῖς κωμικοῖς ὡς κωμικὸς φαίνοιτο γράφων. καὶ ὁ Στρεψιάδης ἐλλιπῶς (1180) διὰ συντομίαν φησὶν ἀττικῶς· ναὶ τέκνον, ἔστιν ἡμέρα ἕνη καὶ νέα, εἰς ἥν γε θήσειν λέγουσί μοι πρυτανεῖα, χάρτας, δικαστήρια, μᾶλλον δέ, ὡς πρὸ βραχέος εἰρήκειν, εἰς ἣν οἱ δικασταὶ ἀπειλοῦσί μοι, ὡς μέλλω δοῦναι βαρύτατα σπόρτουλα, ἤτοι τῆς δίκης ἐκβιβαστήρια, τοῖς πρυτάνεσιν· οἵτινες πρυτάνεις (1181) τῷ τότε δημοσίου τύπον καὶ τόπον ἐπεῖχον. ἀπολοῦνται, φησὶν ὁ Στρεψιάδης, καὶ ζημιωθήσονται, αὐτοὶ θέντες καὶ κινήσαντες τὰ τοιαῦτα, ἢ ἀπολοῦνται καὶ ζημιωθήσονται, αὐτοὶ οἱ ταῦτα κινήσαντες.

book 1180a ἥν] ἤγουν τὴν ἕνην τε καὶ νέαν.

book 1180b γε] ναί.

book 1180c τὰ πρυτανεῖά] τοὺς χάρτας.

book 1180d τὰ πρυτανεῖά] καὶ εἰς τὰ δημόσια.

book 1181a ἀπολοῦντ’] ζημιωθήσονται.

book 1181b αὖθ’] αὐτά.

book 1181c θέντες] θέντε: τὸ δυϊκὸν ἀντὶ πληθυντικοῦ.

book 1184 γυνή] ἡ.

book 1185a καὶ μὴν νενόμισται: ὁ Στρεψιάδης εἰπόντος τοῦ Φειδιππίδου μὴ δύνασθαι εἶναι μίαν ἡμέραν δύο, ὥσπερ οὐ δύναται ἡ αὐτὴ καὶ μία γυνὴ γραῦς τε εἶναι καὶ νέα, φησί· καὶ μὴν νενόμισται εἶναι ἕνην καὶ νέαν. καὶ πάλιν ὁ Φειδιππίδης τῷ ἀλιτηρίῳ ἄριστα μεμιμημένος ῥήτορα δικηγόρον φησίν· οὐ γὰρ ἴσασιν ὀρθῶς, ὅ τι νοεῖ, ἤγουν οὐ γινώσκουσιν ὀρθῶς, ὅ τι σημαίνει, ἀντὶ τοῦ “τί σημαίνει”. καὶ ὁ Στρεψιάδης· νοεῖ δὲ καὶ σημαίνει τί; κἀκεῖνος πάλιν, ὡς οἱ ῥήτορες οἱ τὰ νομοθετῶν μόνα εἰδότες ὀνόματα, τοὺς νόμους δὲ οὐδαμοῦ, κομψεύεται καὶ λαμυρῷ λαβράζει τῷ στόματι λέγων πρὸς τοὺς ἀκούοντας· “ὁ Σόλων ὁ παλαιὸς ἦν φιλόδημος τὴν φύσιν”.

book 1185a (1188) τὸ “οὐδὲν πρὸς τὴν ἕνην” ὑποβολὴ Στρεψιάδου ἐστὶ λέγοντος· οὐδὲν ὃ λέγεις λυσιτελεῖ πρὸς τὴν ἕνην καὶ νέαν. οὕτω δ’ εἶχεν ἀνυποβλήτως ἡ τοῦ λόγου συνέπεια· ὁ Σόλων ὁ παλαιὸς ἦν τό· ἐκεῖνος οὖν τὴν ἕνην καὶ νέαν τῇ μιᾷ τέθεικεν ἡμέρᾳ, ἵνα αἱ θέσεις τῶν δικῶν καὶ τὰ δικαστήρια γίνοιντο τῇ νουμηνίᾳ. βούλεται γὰρ δύο ἡμέρας ταῦτα δεῖξαι ὄντα, οὐ μίαν, ἕνην μὲν τὴν τριακοστήν, νέαν δὲ τὴν νουμηνίαν.

book 1185b νενόμισταί] τοῖς νόμοις δοκεῖ.

book 1185c οἶμαι] ὑπολαμβάνω.

book 1186a ὀρθῶς] κατὰ ἀλήθειαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1186b νοεῖ (pr.)] νοεῖν δίδωσι.

book 1186c νοεῖ (alt.)] σημαίνει.

book 1187 τὴν φύσιν] κατά.

book 1188a τουτὶ] τοῦτο.

book 1188b πω] ὁποῖον.

book 1188c πρὸς] ἁρμόζει.

book 1191a αἱ θέσεις] αἱ καταβολαί, τὰ δικαστήρια.

book 1191b τῇ] ἐν.

book 1192 ἵνα δὴ τί τὴν ἕνην προσέθηκεν· ὁ Στρεψιάδης· ἵνα τί δή, διὰ τί, φησί, τὴν ἕνην προσέθηκεν; καὶ Φειδιππίδης· ἵνα, ὦ μάταιε, παρόντες καὶ παραστάντες, οἱ φεύγοντες καὶ κατηγορούμενοι, ἐν τῷ δικαστηρίῳ ἡμέρᾳ μιᾷ πρότερον καὶ πρὸ μιᾶς ἡμέρας, ἤτοι τῇ τριακοστῇ, συμβάσεσιν ἑκουσίαις διαλύοιντο, εἰ δὲ μή, τῇ νουμηνίᾳ νεομηνίᾳ δικαζόμενοι βιαίως ἀπαιτούμενοι ἀποδιδοῖεν ἃ κεχρεωστήκασιν.

book 1193a παρόντες] ὑπάρχοντες.

book 1193b οἱ φεύγοντες] οἱ κατηγορούμενοι.

book 1195a ἕωθεν] συνήθεια ἦν.

book 1195b ὑπανιῷντο] θλίβοιντο.

book 1195c τῇ] ἐν.

book 1196a πῶς οὐ δέχονται τὰ πρυτανεῖα, φησί, τῇ νουμηνίᾳ, ἀλλὰ τῇ ἕνῃ καὶ νέᾳ, ἤτοι τῇ τριακοστῇ; τουτέστι πῶς τὸ ἔθος ἐκεῖνο τὸ παλαιόν, μᾶλλον δὲ ὁ νόμος ἐκεῖνος, οὐ κρατεῖ νῦν καὶ πρὸ μιᾶς ἡμέρας τῆς νουμηνίας ἤτοι τῇ τριακοστῇ ἑκόντες ἀλλήλοις συνέρχονται καὶ ἢ διαλύονται ἢ τῇ ἐπαύριον ἤτοι τῇ νουμηνίᾳ ἕλκονται καὶ ἀποδιδοῦσι τὰ ὀφειλόμενα, ἀλλ’ εὐθέως ἐν μιᾷ ἡμέρᾳ, τῇ τριακοστῇ, πάντα γίνονται;

book 1196b τῇ] ἐν.

book 1197a ἕνην λέγει τὴν λʹ, νέαν δὲ τὴν νουμηνίαν.

book 1197b ἀρχαὶ] καὶ ἐξουσίαι.

book 1197c πρυτανεῖ’] διδόμενα.

book 1197d ἕνῃ τε καὶ νέᾳ] ἤγουν τῇ λʹ.

book 1198a καὶ πάλιν πρὸς αὐτό φησι Φειδιππίδης· δοκοῦσί μοι παθεῖν ὅπερ οἱ προτένθαι. ὁ “γάρ” σύνδεσμος περιττός. προτένθαι δὲ λέγονται οἱ γαστρίμαργοι καὶ ὀξυπεινεῖς. οὕτω, φησί, καὶ οἱ νῦν δικασταὶ τοὺς προτένθας τούτους μιμούμενοι καὶ θέλοντες τὰ πρυτανεῖα καὶ τὰ διδόμενα ὑπὲρ δικῶν ἐκβιβάσεως τάχιον λαμβάνειν καὶ πρὸ τοῦ νενομισμένου καιροῦ προὐτένθευσαν καὶ ὥσπερ προελαιμάργησαν καὶ προεζήτησαν καὶ προζητοῦσιν ἀεὶ ταῦτα καὶ προαρπάζουσιν, ἡμέρᾳ μιᾷ ἤτοι τῇ ἕνῃ τῇ καὶ τριακοστῇ μὴ καρτεροῦντες ἐνστῆναι τὴν νουμηνίαν.

book 1198b ὅπερ] ποιοῦσιν.

book 1198c δοκοῦσί] φαίνονται.

book 1198d παθεῖν] ποιεῖν.

book 1199a πρυτανεῖ’] διδόμενα.

book 1199b ὑφελοίατο] κλέπτοιεν.

book 1200 προὐτένθευσαν] ἐλαιμάργησαν.

book 1201a

εὖ γ’ ὦ κακοδαίμονες: ὁ Στρεψιάδης τῆς εὐστομίας καὶ τῶν λαμυρῶν λόγων ἀκηκοὼς Φειδιππίδου εὐδαιμονίζει μὲν ἑαυτόν, ταλανίζει δὲ τοὺς δεδανεικότας αὐτῷ καί φησιν· εὖγε καὶ καλῶς, ἐμοὶ δηλονότι. εἶτα καὶ πρὸς τοὺς δανειστὰς ἀπόντας ὡς πρὸς παρόντας διαλεγόμενος, ὃ τοῦ ἤθους ἐστί, λέγει· τί κάθησθε ἀβέλτεροι, ἀπαίδευτοι, ἀμαθεῖς, ἀφυεῖς, ἀνεπιτήδειοι, μὴ τοῦ σκοποῦ ἐπιτυγχάνοντες ὡς οἱ καλῶς βάλλοντες τοξόται, ἀλλὰ πόρρω, μηδ’ ἴκταρ σκοποῦ τὰς ἐπαφέσεις τῶν τοξευμάτων ποιούμενοι, τί κάθησθε καὶ οὐ συγκροτεῖτε καθ’ ἡμῶν δικαστήρια;

book 1201b εὖ γ’] καλῶς ὑπάρχει ἐμοί.

book 1201c κακοδαίμονες] πρὸς τοὺς δανειστάς.

book 1201d ἀβέλτεροι] ἀνόητοι.

book 1202a ἡμέτερα κέρδη τῶν σοφῶν: οἵτινες εἰς κέρδος ἐμοὶ δεδανείκατε τὰ ὑμέτερα πράγματα. τῇ γὰρ σοφίᾳ καὶ λόγων ταῖς πιθανότησι τοῦ ἐμοῦ υἱοῦ Φειδιππίδου κέρδος ἐμὸν ταῦτα πάντα ποιήσομαι μηδὲν τῶν χρεῶν ὑμῖν ἀποδούς.

book 1202b ὦ ὄντες ὄντε τῷ ἀριθμῷ μόνον ἄνθρωποι, Πασίας, Ἀμυνίας καὶ ἕτεραι κλήσεις, νοῦν δὲ ἀνθρώπων μὴ ἔχοντες, ἀλλὰ κτήνη, πρόβατα, ἀμφορεῖς καὶ κέραμοι οἴνου μεστοί, λίθοι. τὰ μέτρα χρήζων γράφε, ὡς οἱ πρὸ ἡμῶν γράφοντες.

book 1202c ἡμέτερα κέρδη] οἵτινες εἰς κέρδη ἐμοὶ δεδανείκατε.

book 1202d τῶν σοφῶν] ἡμῶν.

book 1202e ὄντες] ὦ.

book 1203a ἀριθμός p.i.m.] μόνον τῷ ἀριθμῷ ἄνθρωποι, νοῦν δὲ ἀνθρώπων μὴ ἔχοντες.

book 1203b ἄλλως] γρ. ἄλως.

book 1203c ἀμφορεῖς] ἀμφορῆς.

book 1203d ἀμφορεῖς νενησμένοι] κέραμοι οἴνου μεστοί.

book 1204 ὥστ’ εἰς ἐμαυτὸν: ὥστε ἐγκώμιον δεῖ με ᾆσαι ἐμαυτῷ καὶ τῷ (1211) υἱῷ μου. ἡνίκα, ὦ τέκνον, τοῖς δανεισταῖς ἀντιλέγων δικαστηρίοις ἐν εὐγλωττίαις καὶ πιθανότησι λόγων τὰς δίκας νικᾷς, ζηλοῦντες ἐμὲ οἱ δημόται, γείτονες καὶ φίλοι, ἢ ζηλοῦντες καὶ φθονοῦντες καταχρηστικῶς, παραχρηστικῶς, ἢ κυρίως ζηλοῦντες καὶ μιμούμενοι, ἢ θαυμάζοντες φήσουσι καὶ εἴπωσιν· ὦ Στρεψίαδες, ἀντὶ τοῦ “ὦ Στρεψιάδη”· οὐ γὰρ ἦν ἡ γενικὴ εἰς ους, Στρεψιάδους, ὡς τὴν κλητικὴν εἶναι Στρεψίαδες, ἀλλὰ τῆς γενικῆς εἰς ου ληγούσης—Στρεψιάδου γὰρ κλίνεται—ἡ κλητικὴ “ὦ Στρεψιάδη” ἐστίν. οὗτος δὲ μεταπλασμῷ οὕτως ἔκλινεν, ὡς ἀπὸ περισπωμένης εὐθείας τῆς Στρεψιαδέης Στρεψιαδῆς, ὡς

book 1204 Ἡρακλέης Ἡρακλῆς, Στρεψίαδες καὶ Ἥρακλες.

book 1205a ᾀστέον] ἡδύ, θαυμαστόν.

book 1205b ᾀστέον] δεῖ με ᾆσαι ἐμαυτῷ καὶ τῷ υἱῷ μου.

book 1205c μοὐγκώμιον] γρ. μοι.

book 1205d μοὐγκώμιον] ἐγκώμιον.

book 1206a μάκαρ] ὦ.

book 1206b ὦ] ὑπερβατόν.

book 1207a ἔφυς] ὑπάρχεις.

book 1207b ὡς] λίαν.

book 1208 οἷον] ποταπόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1209 φήσουσι] εἴπωσι.

book 1212 ἀλλ' εἰσαγαγὼν πρῶτον ἑστιάσω σε ἤτοι ἑστιάσει καὶ λαμπρᾷ τραπέζῃ ὑποδέξομαι.

book 1214a εἶτ' ἄνδρα: Πασίας ἢ Ἀμυνίας ὁ δανειστὴς μετὰ μάρτυρος ἐς Στρεψιάδου ἐλθών φησι πρὸς τὸν μάρτυρα· εἶτα—περισσῶς ἀττικῶς—χρὴ ἄνθρωπον προϊέναι καὶ διδόναι καὶ δανείζειν τι τῶν ἑαυτοῦ; καὶ πάλιν μόνος φησίν· οὐδέποτε, ἀλλὰ κρεῖττον ἦν τότε μὴ αἰδεσθῆναι, ἀλλ' ἀποπέμψασθαι αὐτὸν καὶ μὴ δανεῖσαι ἢ νῦν ἔχειν πράγματα καὶ θορύβους, καὶ σὲ ἄγειν τοῦτον καλέσοντα εἰς δικαστήριον καὶ γενέσθαι με καὶ ἐχθρὸν ἀνδρὶ φίλῳ καὶ συμπολίτῃ καὶ γείτονι. ἀλλὰ καλοῦμαι εἰς δικαστήριον Στρεψιάδη(ν) εἰς τὴν ἕνην τε καὶ νέαν. (1222) καὶ ὁ Στρεψιάδης· μαρτύρομαι καὶ μάρτυρας καλῶ, ἵνα καὶ οὗτοι καταγνοῖεν τῆς ἀμαθίας τοῦτον καὶ τῆς ἀβελτερίας, ὅτι ἐς δύο ἡμέρας εἶπεν ἤτοι τὴν μίαν δύο καλεῖ. (1223) τοῦ χρήματος: βαβαὶ τῆς ἀμαθίας. ταῦτα δὲ ἦν, ἃ μεμάθηκεν ἐκ τοῦ Φειδιππίδου.

book 1214b εἶτ'] περισσόν.

book 1214c τῶν] ἀπό.

book 1214d 1214] δανειστὴς πρὸς τὸν μάρτυρα.

book 1214e προϊέναι] δανεῖσαι.

book 1215 1215] καὶ πάλιν μόνος εἰς ἑαυτόν φησιν.

book 1216a καὶ σὲ ἄγειν τοῦτον καλέσοντα εἰς δικαστήριον καὶ γενέσθαι με ἐχθρὸν ἀνδρὶ δημότῃ.

book 1216b ἀπερυθριᾶσαι] ἀποπέμψασθαι.

book 1216c πράγματα] ὀχλήσεις.

book 1218 κλητεύσοντα] μαρτυρήσοντα.

book 1219a πρὸς] σύν.

book 1219b δημότῃ] συμπολίτῃ.

book 1220a ἀτὰρ] δέ.

book 1222a τὴν ... νέαν] ἤγουν τὴν λ′.

book 1222b μαρτύρομαι] ἐκμάρτυρα ποιῶ.

book 1223a "τοῦ χρήματος" εἴπομεν ἀντὶ τοῦ "βαβαὶ τοῦ χρήματος" καὶ τοῦ πράγματος, ὅτι τὴν μίαν ἡμέραν δύο ἐκάλεσεν. ἢ οὕτω συντακτέον· Πασίου τοῦ δανειστοῦ εἰπόντος αὐτὸν ἐς τὴν ἕνην καὶ νέαν ἐλθεῖν ἐς τὸ δικαστήριον οὗτός φησι· τοῦ χρήματος; ἀντὶ τοῦ "ἕνεκα τίνος πράγματος;" καὶ ὁ Πασίας· ἕνεκα τῶν δώδεκα μνῶν. ἡ μνᾶ ἑκατόν εἰσι δραχμαί, ἑκάστη δὲ δραχμὴ ὀβολοὶ ἕξ, ὁ ὀβολὸς δὲ κεράτια τρία.

book 1223b ἡμέρας] καλεῖν.

book 1223c τοῦ χρήματος] φεῦ.

book 1224 τῶν] περί.

book 1225a ψαρὸν: ἢ ὁ ταχύς· ψαυρὸς καὶ ψαρὸς ὁ ψαίρων ψαύων καὶ πλησιάζων καὶ ἰσοδρομῶν τῷ τάχει ταῖς αὔραις καὶ ταῖς πνοαῖς. ἢ ὁ ποικίλος τὴν χροιάν, ὥσπερ οἱ ψᾶρες.

book 1225b τὸν ταχύν, ἀπὸ τοῦ ψαίρειν· ἢ τὸν χρῶμα τοιοῦτον ἔχοντα.

book 1227a καὶ νὴ Δία: τοῦ Στρεψιάδου λέγοντος· οὐκ ἀκούετε; ἵππον ὠνησάμην ἐγώ; φησὶν ὁ Πασίας· ναί, καὶ μὰ τὸν Δία ὤμνυες τοὺς θεοὺς ἀποδοῦναί μοι τὸ δάνειον. καὶ ὁ Στρεψιάδης· οὔ, φησί, μὰ τὸν Δία. οὔπω γὰρ ὁ Φειδιππίδης τὸν ἥττονα ἀκατάβλητον ἤγουν τὸν ἀνίκητον λόγον μεμάθηκεν.

book 1227b ὄμνυμι, καὶ ὁ παρατατικὸς ὤμνυν, ὤμνυς.

book 1227c ἀποδώσειν] τὸ χρέος.

book 1229 τὸν ἀκατάβλητον] τὸν μηδενὶ κατακλώμενον ἤγουν τὸν ἀήττητον.

book 1230 ἔξαρνος: ἀρνητικός. τί γὰρ ἀπολαύσαιμι καὶ κερδήσαιμι ἐκ τοῦ μαθήματος Φειδιππίδου τοῦ υἱοῦ μου;

book 1232a καὶ ταῦτ' ἐθελήσει: καὶ ὁ δανειστής· καὶ διὰ ταῦτα ἂν ὑπακούσῃς ἐμοὶ καὶ ὀμόσῃς τοὺς θεούς, ὅπου γ' ἂν αὐτὸς εἴπω σοι; καὶ ὁ Στρεψιάδης φησί· ποίους θεοὺς θέλεις ἐπομόσαι σοι; κἀκείνου εἰπόντος· τὸν Δία, τὸν Ἑρμῆν, τὸν Ποσειδῶ, πάλιν ὁ Στρεψιάδης φησί· νὴ τὸν Δία, ὀμόσω καὶ τρεῖς ἂν ἀποδώσω σοι ὀβολοὺς ἕνεκα τοῦ ὀμόσαι. Ζεὺς γὰρ οὐκ ἔστιν οὐδ' ἄλλοι θεοί, Δῖνος δὲ βασιλεύει. καὶ ὁ Πασίας· ἀπόλοιο ἔτι καὶ νῦν ἕνεκα τῆς εἰς τοὺς θεοὺς τόσης ἀναιδείας καὶ ἀσεβείας.

book 1232b ἀπομόσαι] τό.

book 1235a ὥσπερ ἔχω ζημιωθῆναι τριώβολον, οὕτως ἔχω καὶ τὸ ὀμόσαι· κατ' οὐδὲν ἥγημαι τοῦτο. ἢ οὕτως· νὴ τὸν Δία, ὀμόσω καὶ τρεῖς ἂν ἀποδώσω σοι ὀβολοὺς ἕνεκα τοῦ ὀμόσαι.

book 1235b προσκαταθείην] ζημιωθείην.

book 1236 ἔτι] πλέον.

book 1237a ἁλσὶ διασμηχθεὶς: τοῦ δανειστοῦ ὡς ἀσεβῆ καὶ καταφρονητὴν τῶν θεῶν αἰτιωμένου τὸν Στρεψιάδην ὁ Στρεψιάδης ὡς ἄφρονα καὶ ἀνόητον ἢ παχύδερμον ἢ μεθύοντα τοῦτον διαπαίζων, ὅτι οἴεται εἶναι θεοὺς καὶ ὅτι χρέα δοκεῖ λαβεῖν ἐξ αὐτοῦ· ἁλσί, φησί, καὶ ἐλαίῳ οὗτος περιχρισθεὶς ὄναιτο ἂν καὶ ὠφεληθείη. τουτέστιν εἰ ἐμβροχὴ γένοιτο περὶ τὴν κεφαλὴν αὐτοῦ, τῆς μέθης καὶ τῆς καταφορᾶς καὶ τοῦ κώματος καὶ τῆς παρακοπῆς ἂν τῶν φρενῶν μικρόν τι ἀνασφήλειεν. οὕτω γὰρ ποιοῦντές ποτε τοὺς καταφορικοὺς ἀνακτῶνται. (1238) καὶ τοῦ Πασίου τοῦ δανειστοῦ πρὸς ταῦτα εἰπόντος· οἴμοι ὅτι καταγελᾷς, πάλιν ὁ Στρεψιάδης αὐτὸν διαπαίζων καὶ ἢ ὅλον τὸ σῶμα αὐτοῦ ἀσκῷ παραβάλλων καὶ ὁμοιῶν ἢ μόνην τὴν κεφαλὴν τούτου αὐτοῦ ἀμφορεῖ ὀστρακίνῳ φησίν· ἓξ χοὰς χόας ὅλος οὗτος ὁ ἀσκὸς χωρήσεται. ἢ ἡ κεφαλὴ τούτου ἴδε ὁπόση ἐστίν· ὥσπερ κεραμεοῦς ἀμφορεὺς εὐμεγέθης ἓξ χοὰς χόας χωρήσεται. ὁ δὲ χοῦς

book 1237a εἶδος μέτρου ἐστίν, ὡς Διοσκουρίδης ὁ Ἀναζαρβεὺς καὶ μυρίοι ἕτεροι γράφουσιν.

book 1237b διασμηχθεὶς] καθαρθείς.

book 1237c οὑτοσί] οὗτος.

book 1238a ἓξ ... χωρήσεται] πάλιν χλευάζει· ἐπὶ ἀμφορέως γὰρ τοῦτο.

book 1238b χοὰς] μέτρα.

book 1238c χωρήσεται] ἡ κεφαλὴ ἢ τὸ σῶμα τούτου.

book 1240a καταπροΐξει: ἐκφύγῃς, παραδράμῃς, ἀποδρασκάσεις ἄνευ τιμωριῶν καὶ ποινῶν δικαστικῶν. τὸ δὲ "προΐξει", τὸ "ἐκφύγῃς", λέγεται ἀπὸ τῶν προϊόντων καὶ προτρεχόντων τιμῶν. καὶ ἡ γαμικὴ δὲ προὶξ προῖξ ἀπὸ τοῦ πρὸ τῶν γάμων ἰέναι καὶ προπορεύεσθαι καὶ δίδοσθαι προὶξ προῖξ λέγεται.

book 1240b θαυμασίως ἥσθην θεοῖς: τοῦ δανειστοῦ ἐν τῷ ἐπομνύειν εἰπόντος· μὰ τὸν Δία τὸν μέγαν καὶ τοὺς θεούς, ὁ Στρεψιάδης ὡς μαθὼν ἐκ Σωκράτους μὴ εἶναι Δία, ἀλλὰ τὸν Δῖνον αἴτιον κεραυνοῦ καὶ βροντῆς ἀνακαγχάζει διάτορον. καὶ τοῦ δανειστοῦ ὡς κομιδῇ ἀμαθεστάτου καὶ ἀνουστάτου καταγελῶν οἰομένου Δία καὶ τοὺς λοιποὺς εἶναι θεοὺς καὶ ὀμνῦντος αὐτούς φησι· "θαυμασίως"· λείπει τὸ "ὤμοσας". εἶτα "ἥσθην θεοῖς", ἤτοι ηὐφράνθην ἐπὶ τοῖς σοι ὀμωμοσμένοις θεοῖς ἀνοήτως, ὦ ἀναίσθητε ἀγοραῖε καὶ βαναυσότατε. εἶτα πάλιν· καὶ ὁ Ζεὺς

ὀμνύμενος γελοῖός ἐστι τοῖς εἰδόσιν, ὅτι Ζεὺς οὐκ ἔστι, Δῖνος δὲ βασιλεύει. δηλονότι καὶ σὺ γελοῖος· ὁ γὰρ “καί” σύνδεσμος δηλωτικός ἐστι καὶ ἑτέρων. (1242) καὶ ὁ δανειστὴς πρὸς μὲν τὰ ἀσεβῆ φησι Στρεψιάδου ληρήματα· ὄντως δὴ σὺ τῆς ἀσεβείας τούτων δώσεις ἐκ θεῶν τιμωρίαν. ἀποκριθεὶς δὲ ἐμοί, εἴτε δώσεις τὸ δάνειον εἴτε μή, ἀπόπεμψον. καὶ ὁ Στρεψιάδης εἰπών· ἔχε καὶ καρτέρει ἥσυχος καὶ ἀποκρινοῦμαί σοι αὐτίκα, εἴσεισιν εἰς τὴν οἰκίαν,

book 1240b (1246) ἵνα καρδόπην ἤτοι σκάφην ἐξάγῃ. εἰσελθόντος οὖν οὕτω τοῦ Στρεψιάδου ἐρωτᾷ ὁ δανειστὴς ὃν ἔφερε, μᾶλλον δ’ ἤγαγε, μάρτυρα καὶ κλήτορα· τί, δοκεῖς, μέλλει ποιῆσαι; καὶ ὁ μάρτυς δοκεῖ· ἀποδώσειν μέλλει σοι τὰ χρέα. ταῦτα μὲν οὗτοι. (1247) εἶτα ἔξεισι Στρεψιάδης φέρων καρδόπην καί φησι· ποῦ ἐστιν ὁ ἀπαιτῶν με χρήματα; εἰπέ, τουτὶ τί ἐστιν; (1248) ὡς δὲ ὁ δανειστής· κάρδοπός ἐστιν, ἀπεκρίνατο, πάλιν ὁ Στρεψιάδης φησίν· ἔπειτα—περισσὸς κεῖται ὁ “ἔπειτα”—τοιοῦτος ἀμαθέστατος ὢν καὶ βάρβαρος ἀπαιτεῖς χρέα καὶ τόκους; οὐκ ἂν ἀποδοίην οὐδέν, ὅστις κάρδοπον καλεῖ τὴν καρδόπην. τούτοις δὲ πᾶσι διαπαίζει τῶν φιλοσόφων τὸ ἀσυντελὲς εἰς βιωφελῆ καὶ ἀχρήσιμον καὶ ἐπὶ τούτοις τὸ ἀκροκόρυφον τούτων κεφάλαιον, τὴν ἀσέβειαν.

book 1240c ἀποφύγῃς, καταφύγῃς. ἀπὸ τοῦ προΐημι.

book 1240d ἐμοῦ] ἀπ’.

book 1240e καταπροΐξει] ἐκφύγῃς.

book 1240f θαυμασίως] ὤμοσας.

book 1241 τοῖς εἰδόσιν] παρὰ τοῖς φιλοσόφοις.

book 1242 ἤγουν βλασφημίας.

book 1246a δοκεῖ (pr.)] φαίνεται.

book 1246b δράσειν] πράξειν.

book 1246c ἀποδώσειν] τὸ χρέος.

book 1248 τουτὶ] δεικνύει τὴν καρδόπην.

book 1250 οὐδενί] ἀνθρώπῳ.

book 1252 οὐκ ἄῤ ἀποδώσεις: εἰπόντος τοῦ δανειστοῦ· λέγεις μοι, Στρεψιάδη, ὅτι οὐκ ἀποδώσεις τὰ χρέα; ὁ Στρεψιάδης φησίν· οὐκ ἀποδώσω, ὅσον γέ με εἰδέναι, ἤτοι τέως, ὡς ἐγὼ νοῶ.

book 1253a εἶτά φησιν· οὐ ταχέως ἀπολιταργιεῖς καὶ ἀποδράμῃς καὶ ἐκστῇς ἐκ τῆς θύρας; λιταργιεῖν δὲ τὸ ταχέως ὑποχωρεῖν, ἀπὸ τοῦ λίαν καὶ ἀργῶς καὶ ταχέως ᾄττειν, λιατταργιεῖν καὶ λιτταργεῖν.

book 1253b λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα.

book 1253c ἀνύσας] σπεύσας.

book 1253d ἀπολιταργιεῖς] ἀπὸ τοῦ “λίαν ᾄττειν ἀργῶς” καὶ ταχέως, ἢ “ὀργᾶν” καὶ ὁρμᾶν.

book 1253e ἀπολιταργιεῖς] ἀποφύγῃς, ἀποχωρήσεις.

book 1254 ἄπειμι, πρὸς ταῦτα ὁ δανειστὴς λέγει, τοῦτο δὲ ἴσθι, ὅτι οὐκ ἂν ζῴην, εἰ μὴ θείην εἰς τὰ πρυτανεῖα γραφὴν καὶ κατηγορίαν κατὰ σοῦ ἀδικίας, ἢ εἰ μὴ θείην πρυτανεῖα ἤτοι σπόρτουλα καὶ ἐκβιβαστήρια δίκης βαρύτατα, ἃ ἐδίδοντο τοῖς πρυτάνεσιν, οὗ ἕνεκα καὶ πρυτανεῖα ἐλέγοντο.

book 1255a θήσω] γραφήν.

book 1255b πρυτανεῖ’] εἰς τά.

book 1255c μηκέτι ζῴην] εἴθε.

book 1256a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ πάλιν ὁ Στρεψιάδης· ἀπολεῖς ἄρα πρὸς ταῖς δώδεκα μναῖς καὶ τὰ ἐν τοῖς πρυτανείοις δοθησόμενα τῆς δίκης ἐκβιβαστήρια. καίτοι, μὰ τὴν ἀλήθειαν, οὐ βούλομαι τοῦτό σε παθεῖν, ὅτι ἁπλοῦν καὶ ἀμαθὲς ἀνθρώπιον εἶ καὶ τὴν καρδόπην εὐηθικῶς καὶ ἀφελῶς καὶ βαρβάρως καὶ ἀνοήτως, ἐκάλεσας κάρδοπον.

book 1256b προσαποβαλεῖς] ζημιωθῇς.

book 1256c πρὸς] σύν.

book 1257 οὐχὶ] περισσὸν τὸ “οὐχί”.

book 1259a ἰώ μοι μοι: ἕτερος δανειστὴς πρόσεισιν Ἀμυνίας καὶ ἠνωτισμένος, ὁπόσα ἔλαβεν ὁ πρὸ αὐτοῦ ἐλθὼν δανειστής, συμφοράζει καὶ βοᾷ καὶ ὁ Στρεψιάδης πρὸς τοὺς τούτου σχετλιασμοὺς ἐκπλαγείς· ἔα, βοᾷ ἐκπληκτικὸν ἐπίρρημα λέγων, τίς ὁ θρηνῶν ἐστιν; ἆρα τῶν Καρκίνου δαιμόνων τις ἐφθέγξατο; Καρκίνου δαιμόνων ἀντὶ τοῦ “παίδων”.

book 1259b 1259] ἕτερος.

book 1260 οὔ τι που] ἆρα.

book 1261a τοῦ Καρκίνου τρεῖς ἦσαν παῖδες, Ξενοκλῆς, Ξενότιμος καὶ Δημότιμος. ὧν ὁ μὲν Ξενοκλῆς τραγῳδιῶν ἦν ποιητής, οἱ δὲ ἀδελφοὶ ὑποκριταὶ τούτου ὀξυφωνότατοι. ἐπεὶ δὲ καὶ ὁ δανειστὴς τραγικώτερον ὀξυφώνως τὸ “οἴμοι” ἐβόησε, τούτου ἕνεκα ἔφη ὁ Στρεψιάδης· ἆρα Καρκίνου παῖς ὁ βοήσας ἐστὶν ὀξυφωνότατος ὑποκριτὴς τραγῳδίας; καὶ ὁ δανειστής· τί δὲ βούλεσθε εἰδέναι, ὅστις εἰμί; εἶτα λέγει· ἀνὴρ κακοδαίμων. τοῦτο δέ φησιν ὡς ἀκηκοώς, ὅτι Στρεψιάδης ἀποστερεῖ τῶν δανείων τοὺς δανειστάς, καὶ εἰδώς, ὡς οὐδ’ αὐτὸς λήψεταί τι. εἰπόντος δὲ τοῦ δανειστοῦ, ὡς ἔστιν ἀνὴρ κακοδαίμων, ὁ Στρεψιάδης φησίν· εἰ κακοδαίμων εἶς, κατὰ σαυτὸν καὶ εἰς τὴν σὴν κεφαλὴν τρέπου, ἡμῖν δ’ εἴη βίος εὐδαίμων.

book 1261b διασύρει τὸν Καρκίνον. ἦν δὲ τραγῳδίας ποιητὴς καὶ εἶχεν υἱοὺς τρεῖς. ὁ μὲν Φιλόδημος καὶ αὐτὸς τραγῳδίας ποιητής, οἱ δὲ ἕτεροι ἀδελφοὶ αὐτοῦ ἦσαν ὑποκριταὶ αὐτοῦ.

book 1261c δαιμόνων] ἀπό.

book 1261d δαιμόνων] παιδῶν· τῶν υἱῶν ὤφειλεν εἰπεῖν.

book 1263 σαυτὸν] σαυτοῦ.

book 1264 ὦ σκληρὲ δαῖμον: τοῦτο ἐκ Τληπολέμου δράματος Ξενοκλέους, ᾧ ἀνεῖλε Τληπόλεμος Λικύμνιον τὸν ἀδελφὸν Ἀλκμήνης τῆς αὐτοῦ πατρομήτορος. ὅθεν εἶπε καὶ τὸ “τί σε Τληπόλεμος εἴργασται κακόν;”

book 1265a Παλλάς] ἡ Ἀθηνᾶ.

book 1265b ὥς] λίαν.

book 1269 κακῶς πεπραγότι: δυστυχοῦντι.

book 1271 κακῶς ἄρα εἶχες: εἰπόντος τοῦ δανειστοῦ· κέλευσον τὸν υἱόν σου ἀποδοῦναί μοι τὰ χρήματα ἄλλως τε καὶ κακῶς ἔχοντι, ἤτοι δυστυχοῦντι, ἐρωτήσας ὁ Στρεψιάδης· ποῖα χρήματα; καὶ ἀκούσας· ὅτι ἃ ἐδανείσατο ὁ σὸς υἱός· ὄντως, φησί, κακῶς εἶχες. οὐχ ὡς ἐκεῖνος εἶπε τὸ κακῶς ἔχειν ἐπὶ τοῦ δυστυχεῖν, ἀλλά· ὄντως κακῶς εἶχες καὶ παρεφρόνεις, ὅτι τῷ ἐμῷ υἱῷ Φειδιππίδῃ χρήματα ἐδάνειζες.

book 1272a ἵππους γ’ ἐλαύνων ἐξέπεσον: Στρεψιάδου εἰπόντος τῷ δανειστῇ ἔχειν κακῶς καὶ σεσεῖσθαι τὰς φρένας φησὶν ὁ δανειστὴς εἰρωνικῶς πρὸς αὐτόν· ἀληθῶς, φησίν, ἵππους ἐλαύνων ἐξέπεσον, καὶ τῇ σφοδρᾷ δῆθεν ῥύμῃ τῇ δρόμου βιαίας περὶ τὴν κεφαλὴν πληγῆς γεγονυίας οὐκ οἶδα, τί φθέγγομαι· ἢ ἱππηλάταις δανείζων ἐμὰ χρήματα ἐξέπεσον τούτων, ἤτοι ἐστέρημαι αὐτῶν.

book 1272b ἐξέπεσον] τούτων, ἤγουν τῶν χρημάτων.

book 1273a τί δῆτα ληρεῖς: εἰ ἐλαύνων ἵππους, φησὶ Στρεψιάδης, ἐκπέπτωκας, τί δὴ παραληρεῖς καὶ παραπαίεις καὶ φλυαρεῖς, ὥσπερ λέγονται παραληρεῖν καὶ φλυαρεῖν καὶ παραφρονεῖν οἱ πεσόντες ἀπ' ὄνου; λέγεται γὰρ ἡ πτῶσις ἡ ἀπὸ ὄνων γίνεσθαι βαρυτάτη, καὶ μᾶλλον εἰ συμβῇ τινι τῶν πεσόντων πληγῆναι τὴν κεφαλήν. τινὲς δὲ περισπῶσι λέγοντες· ὥσπερ καταπεσὼν ἀπὸ νοῦ.

book 1273b ἀπ' ὄνου καταπεσών p.i.m.] διασύρει τὸν Πλάτωνα· λέγουσι γὰρ αὐτὸν ἀπ' ὄνου πεσεῖν καὶ τελευτῆσαι.

book 1275 τί δαί] οὐχ ὑγιαίνω.

book 1276 τὸν ἐγκέφαλον ὅπως: ὅπως καὶ πῶς δοκεῖς μοι τὸν ἐγκέφαλον σεσεῖσθαι, ἤτοι μὴ φρονεῖν.

book 1277a σὺ δὲ νὴ τὸν Ἑρμῆν: ὁ δανειστὴς λέγει· δοκεῖς μοι κεκλήσεσθαι, ἤτοι ὑπὸ κλητόρων καὶ μανδατώρων ἀχθῆναι εἰς δικαστήριον καὶ ἄκων ἀποτίσαι τὰ ὀφειλόμενα, ἢ τοῖς δεσμοφύλαξι τῷ ἀναγκαίῳ εἰρχθεὶς βαρυτέραν λήψῃ τὴν τιμωρίαν.

book 1277b προσκεκλήσεσθαί] δοκεῖς.

book 1277c προσκεκλήσεσθαί] καλέσαι εἰς δικαστήριον.

book 1278 κάτειπε νῦν: ὁ Στρεψιάδης φιλοσόφως τὸν δανειστὴν τοῦτον καὶ συλλογίσασθαι καὶ παραλογίσασθαι βούλεται, ὅτι οὐ δεῖ τόκους λαμβάνειν ἐπὶ τοῖς χρέεσι, καί φησι· κάτειπε καὶ εἰπέ νῦν, ἆρα νομίζεις ἀεὶ τὸν Δία καινότερον ὕδωρ ὕειν, ἢ τὸν ἥλιον τὸ αὐτὸ ὕδωρ κάτωθεν ἀνάγοντα ὕειν; καὶ ὁ δανειστής· οὐκ οἶδα, φησί, περὶ τούτων, οὐδὲ τούτων ἔχω φροντίδα. καὶ ὁ Στρεψιάδης διλημμάτως ἐρωτήσας ἀποκριθέντος τοῦ δανειστοῦ πρὸς τὸ ἕν· πῶς οὖν ἄξιος εἶ λαβεῖν, φησί, χρέα, εἰ μηδὲν τοιοῦτο φυσικὸν οὐδὲ μετέωρον οἶδας; καὶ ὁ δανειστής· ἀλλ' εἰ σπανίζεις—ὁ "ἀλλά" περισσός—εἰ σπανίζεις καὶ ἐνδεὴς εἶ ἀργυρίου, ἤτοι τοῦ κεφαλαίου τοῦ χρέους, κἂν τὸν τόκον μοι (1286) πάρασχε. τί δὲ θηρίον καὶ ζῷόν ἐστιν ὁ τόκος; τοῦ Στρεψιάδου εἰπόντος, καὶ ἀνταποκρινομένου τοῦ δανειστοῦ· ἡ αὔξησις τοῦ ἀργυρίου, ἤτοι τῶν νομισμάτων τοῦ χρέους, τοῦτό ἐστιν ὁ τόκος· ἀεὶ γὰρ καθ' ἑκάστην ἡμέραν αὔξεται (1289) καὶ κατὰ μῆνα, καλῶς λέγεις: συλλογισμῷ τοῦτον ὁ Στρεψιάδης ἀποπαῦσαι πειρᾶται καὶ δεῖξαι ληροῦντα καί φησι πρὸς αὐτόν—πυρπνόου

book 1278 γὰρ ἀλιτηρίου τυγχάνει ῥήτορος τάδε—πρῶτα μὲν θετικῶς συντρέχων αὐτῷ καὶ οὐκ ἐναντιούμενος· καλῶς λέγεις. εἶτα ἐρωτᾷ τοῦτον, καὶ συλλογισμῷ πείσας αὐτὸν ὁμολογῆσαι ὃ ἐκεῖνος ἐζήτει, ἔπειτα χρᾶται τῇ ἄρσει καὶ ἀναιρέσει, καὶ φανερῶς ἀντιπίπτων ἐκείνῳ καὶ ἀπορράψας τὸ στόμα αὐτοῦ ὡς κἀκεῖνον ὁμολογεῖν, ὅτι οὐ δίκαιόν ἐστι τόκους ζητεῖν, τέλος σφοδρότερον καὶ ἐπιπληκτικώτερον αὐτὸν ἐκ τῆς οἰκίας ἐκβάλλει.

book 1279 πότερα] πῶς.

book 1283 ἀπολαβεῖν] ζητεῖς.

book 1284 οἶσθα] γινώσκεις.

book 1285a σπανίζεις] καὶ σπάνιν ἔχεις.

book 1285b ἀργυρίου] τινός.

book 1289 ὑπορρέοντος] παρερχομένου.

book 1291 πρὸ τοῦ] καὶ πρὸ τούτου.

book 1292 πλεῖον'] περισσοτέραν νῦν.

book 1293 οὐδὲν] κατ' οὐδέν.

book 1294 πλείων] περισσοτέρα.

book 1296 1296] πρὸς τὸν ἵππον τοῦ δανειστοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1297a φέρε μοι τὸ κέντρον: ἀποσοβῶν ἐκ τῆς θύρας ὁ Στρεψιάδης τὸν δανειστὴν ζητεῖ καὶ ἱππικὸν κέντρον καὶ ὥσπερ ἵππον τούτῳ κεντρίζει αὐτόν. καί φησιν· ὕπαγε, τί βραδύνεις; οὐκ ἐλαύνεις, οὐ τρέχεις, ὦ σαπφόρα; ὁ δανειστὴς δὲ μάρτυράς τε ἀνακαλεῖται πρὸς ταῦτα καὶ δεινοπαθεῖ.

book 1297b φέρε ... κέντρον] πρὸς τὸν δοῦλον.

book 1298a ἐλᾷς] ἐλαύνεις αὐτόν.

book 1298b σαμπφόρα] μωρέ.

book 1298b, col. 2 σαπφόρα] ὄνομα δούλου.

book 1299a ἄξεις ἐπὶ ἅλω: παίζων νῦν ὁ Στρεψιάδης τὸν δανειστὴν ὥσπερ ἵππον ἀπελαύνει καί φησιν· ἄξεις καὶ ἀπάξεις καὶ ἀποκομίσεις σαυτὸν ἐπὶ ἅλω καὶ ἅλωνα καὶ μύλωνα, ὥς φασιν, ἵν' ἐκεῖθεν ἔχῃς διατραφῆναι· ἐντεῦθεν γὰρ λήψῃ οὐδέν. ἓν τοῦτο ἀπᾷδον ἐμοί. δεύτερον ἄλλο, ὃ συμπεφυρμένως αὐτῶν λεγόντων διαρθρώσω. ἄξεις καὶ ἀπάξεις σαυτὸν ἐντεῦθεν. εἰ οὐκ ἀποστῇς, ἐπιαλῶ τὸ κέντρον. τρίτον πεφυρμένως καὶ τὸ "ἀλῶ" φασιν "ἐλάσω, διώξω". ταῦτά εἰσιν ἅ φασιν οὗτοι. ἡμεῖς δὲ οὕτως· ἄξεις καὶ ἀποδιώξεις ἐνταῦθα σαυτὸν ἤτοι διώχθητι καὶ ἀπόδραμε, ἐπεὶ εἰ μὴ τοῦτο ποιήσεις, ἀλῶ καὶ συντρίψω σε τὸν σειραφόρον κεντῶν ὑπὸ τὸν πρωκτόν. δευτέρως δὲ οὕτω φαμέν· ἄξεις καὶ ἄξον σὲ αὐτὸν τὸν σειραφόρον ἐπὶ ἅλω καὶ κυλίστραν κόνεως. ἄξον δέ πως κεντῶν ὑπὸ τὸν πρωκτόν. εἰώθασι γὰρ οἱ ἱππεῖς καὶ ἁρματηλάται μετὰ τὸν δρόμον ἄγειν τοὺς ἵππους εἰς κόνεως τόπον καὶ ἀπολύειν κυλίεσθαι. οὕτω καὶ νῦν ὁ Στρεψιάδης τὸν δανειστὴν ὡς πολλὰ δραμόντα καὶ κοπιάσαντα κελεύει καὶ εἰς κονίστραν ἀποδραμόντα κυλίεσθαι.

book 1299b ἀλῶ καὶ συντρίψω καὶ καταβαλῶ.

book 1299c ἄξεις] ἄξον.

book 1299d ἐπὶ ἅλω] γρ. ἐπεὶ ἀλῶ.

book 1299e ἅλω] ἅλωνα.

book 1300 σειραφόρον] ἵππον.

book 1301a ἐπιβάλλων σοι τὴν μάστιγα καὶ δαίρων τὸν πρωκτὸν ἄξω σε.

book 1301b κινήσειν] καταβαλεῖν.

book 1302 αὐτοῖς] σύν.

book 1303a οἷον τὸ πραγμάτων ἐρᾶν: τῶν ὑποκριτῶν ὑποχωρησάντων ὁ χορὸς τῶν Νεφελῶν ἐν τῇ σκηνῇ ὢν ταῦτά φησι περὶ τοῦ Στρεψιάδου καὶ προαναφωνεῖ ὅσα μέλλει τούτῳ συμβῆναι, ἐραστῇ κακῶν γενομένῳ, ὑπὸ τοῦ υἱοῦ.

book 1303b οἷον] ὁποῖον, ποταπόν.

book 1303c φλαύρων] ἀδίκων.

book 1307 τήμερον] σήμερον.

book 1308 ὃ] ὅπερ.

book 1309, col. 2 τὸν σοφιστήν] τὸν παραλογιστήν, τὸν πανοῦργον.

book 1310 ὧν] ἀνθ' ὧν, ἕνεκα.

book 1313 οἱ] αὐτοῦ.

book 1314 λέγειν] ὥστε ἀντιλέγειν.

book 1317 ξυγγένηται] ὁμιλήσῃ, ἀντιλέξῃ.

book 1319a ἴσως ἴσως: ὁ χορός φησιν· ὁ Στρεψιάδης χαίρει τοῦ υἱοῦ αὐτοῦ πᾶσι δικαίοις ἀντιλέγοντος κἀκ τούτου μανθάνων καὶ αὐτὸς κακοτροπεῖν ἀποστερεῖ τοὺς δανειστὰς τῶν χρεῶν. ἀλλ' ἴσως

ἴσως, τάχα τάχα, τοιοῦτόν τι πρᾶγμα συμβαίη αὐτῷ ὑπὸ τοῦ υἱοῦ, ὥστε πολὺ αἱρετώτερον ἂν αὐτῷ νομισθῇ 〈ναι〉 τοῦ πᾶσι δικαίοις ἀντιλέγειν τὸ παντελῶς ἄφωνον αὐτὸν εἶναι.

book 1319b βουλήσεται] θελήσει.

book 1320a τὸν υἱὸν αὐτοῦ.

book 1320b αὐτὸν] τὸν Φειδιππίδην.

book 1321a ἰοὺ ἰού: τυπτόμενος ὑπὸ τοῦ υἱοῦ ἔξεισιν ὁ Στρεψιάδης καὶ βοᾷ. “ταῦτα δὲ πάντα” φασὶν οἱ παλαιοὶ “πεπλάσθαι τῷ κωμικῷ πρὸς διαβολὴν τοῦ Σωκράτους δεικνῦναι διὰ τούτων φιλοτιμουμένῳ, ὅτι μηδὲν χρηστὸν διδάσκει τοὺς νέους, ἀλλὰ τοὐναντίον πονηρούς, ὁπότε καὶ περὶ τοὺς γεγεννηκότας τοιοῦτοι γίνονται, 〈καθίστησιν〉.” γίνωσκε δέ, ὡς δ′ εἰσὶ τῆς ἐκτὸς φιλοσοφίας τὰ διδάγματα· ψεῦδος, τῦφος, πατραλοιότης καὶ τέταρτον, ὁ κολοφὼν αὐτῆς, τὸ ἀκροκόρυφον, ἡ ἀσέβεια.

book 1321b ἰοὺ ἰού] προαναφώνησις.

book 1323a πάσῃ τέχνῃ: παντὶ τρόπῳ ἀμυνάθετέ μοι καὶ ἀμύνατε καὶ βοηθεῖτε.

book 1323b ἀμυνάθετέ] βοηθήσατε.

book 1323b, col. 2 ἀμυνάθετέ μοι] ἀμύνασθέ μοι.

book 1323c πάσῃ τέχνῃ] ἐν παντὶ τρόπῳ.

book 1324 τῆς] ἕνεκεν.

book 1326 καὶ μάλα] λίαν τύπτω.

book 1330 λακκόπρωκτε: ἀπερραφανιδωμένε καὶ ἐκ τῆς αἰτίας ταύτης εὐρύπρωκτε.

book 1331 κἀποφανῶ] εἴπω.

book 1332 ὡς] ὅτι.

book 1335 πολύ] κατά.

book 1336a ὁπότερον] ποῖον.

book 1336b τοῖν] ἀπό.

book 1336c λόγοιν] λόγων.

book 1338a ἐδιδαξάμην σε: ἐδίδαξα· παθητικὸν ἀντὶ ἐνεργητικοῦ. δύναται δὲ εἶναι καὶ μεσότητος ἀντὶ τοῦ “ἐξεπαίδευσα”.

book 1338b ἐδιδαξάμην] ἀντὶ τοῦ “ἐδίδαξα”.

book 1339 εἶτ’ (sic)] εἰς.

book 1341 1341] οὐκ αἰσχρόν ἐστιν; ἀναπόδοτον.

book 1343 ἀκροασάμενος] ἀκούσας.

book 1344 ὅτι] ὅπερ.

book 1345a σὸν ἔργον: σοὶ πρέπον ἐστί, Στρεψιάδη, μεγάλῃ σκέψασθαι φροντίδι, ὅπως νικήσειας τὸν υἱόν σου. οὗτος γάρ, εἰ μή τινι μεγάλως ἐθάρρει, οὐκ ἂν ἦν οὕτως ἀκόλαστος καὶ θρασύς. ἀλλ’ ἔστι τι πρᾶγμα, ἐν ὅτῳ θρασύνεται. δῆλον τὸ λῆμα καὶ τὸ φρόνημα, νῦν ἡ ἀλαζονεία, ἐστὶ τἀνθρώπου· ἤτοι δῆλόν ἐστι τὸ φρόνημα καὶ ὁ τῦφος αὐτοῦ, ὅτι ἔν τινι θαρρῶν θρασύνεται. ἀλλ’ ἐξ ὅτου καὶ ἐκ ποίας ἀφορμῆς, διαπληκτίζεσθαι ἤρξασθε, λέγειν ἁρμόδιον.

book 1345b ὅπῃ] ποίῳ τρόπῳ.

book 1346 κρατήσεις] νικήσεις.

book 1347a ὡς] ὅτι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1347b τῳ] καί τινι.

book 1347c πεποίθει] ἐθάρρει.

book 1348 ἀκόλαστος] θρασύς.

book 1349 ὅτῳ] ἐν.

book 1350 λῆμ'] φρόνημα καὶ ὁ τῦφος.

book 1351 ἐξ ὅτου] ἐκ τίνος.

book 1354a εἱστιώμεθα: ἐπεί, φησίν, εἱστιώμεθα καὶ ἀνακείμενοι τῇ τραπέζῃ ἐτρεφόμεθα, εἶπον αὐτῷ λαβόντι λύραν ᾆσαι Σιμωνίδου ᾆσμα, τὸν Κριόν. λύραν κελεύει τοῦτον λαβεῖν, ὅτι λυρικὸς ἦν ὁ Σιμωνίδης, τὰ δὲ τῶν λυρικῶν πρὸς λύραν ἐλέγοντο. ὁ δὲ Κριὸς ἦν Αἰγινήτης παλαιστὴς διάσημος, οὗ νικήσαντος ἐν Ὀλυμπίᾳ γράφει ᾆσμα ὁ Σιμωνίδης, καὶ ὡς ἐπὶ μήλου κριοῦ τὰς τρίχας πλακέντος ἐν δένδρῳ, οὕτω τῷ ᾄσματι τούτῳ τὴν ἐν Ὀλυμπίᾳ συμπλοκὴν τῆς παλαίστρας Κριοῦ τοῦ παλαιστοῦ λέγει· ἐπέξαθ' ὁ Κριὸς οὐκ ἀεικέως ἐλθὼν εἰς δένδρον ἀγλαόν, Διὸς τέμενος.

book 1354b ἑστιώμεθα (sic)] ἐτρεφόμεθα.

book 1356a διασύρει τὸν Σιμωνίδην καὶ τὸν Κριόν.

book 1356b ἐπλέχθη καὶ ὡς παίγνιον ἐγένετο.

book 1356c τὸν] εἰς.

book 1356d τὸν Κριὸν] ὁ Κριός.

book 1356e ὡς] πῶς.

book 1356f ἐπέχθη] ἐπαίχθη.

book 1357a ἀρχαῖον: μωρόν, τὸ κιθαρίζειν ἐπὶ τραπέζης καὶ ᾄδειν πίνοντας, ὡς γυναῖκα ἀλοῦσαν καὶ ἀλήθουσαν κάγχρυς καὶ κριθάς, ἢ ὡς τέττιγα μεμεθυσμένον ἀκτῖσιν ἡλιακαῖς.

book 1357b ἀρχαῖον] μωρόν.

book 1358a κάγχρυς: κριθὰς πεφρυγμένας. κάγχρυς κάγχρυος ἡ κριθή, ἐξ οὗ καὶ καγχρυδίας, ἄρτος ὁ κρίθινος.

book 1358b ᾄδειν] μωρὸν τὸ ψάλλειν.

book 1358c πίνονθ'] τινά.

book 1358d κάγχρος] κάγχρυς.

book 1358e κάγχρος] πίσον ἢ κριθάς.

book 1358f ἀλοῦσαν] ἀλήθουσαν.

book 1359a χρῆν] ἔπρεπε.

book 1359b τύπτεσθαι] τύπτειν.

book 1360a ᾄδειν] ψάλλειν.

book 1360b ἑστιῶντα] με.

book 1363a ἠνεσχόμην] καὶ ὑπέμεινα.

book 1363b τὸ πρῶτον] κατὰ.

book 1364a ἀλλὰ μυρρίνην λαβόντα: κἂν μυρρίνην λαβόντα τῶν Αἰσχύλου τι λέξαι. μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου. καὶ ὅτι παλαιὸν ἔθος ἦν τοὺς ᾄδοντας ἐν συμποσίῳ κλῶνα δάφνης ἢ μυρρίνης κατέχοντας ᾄδειν.

book 1364b οἱ λέγοντες τὰ τοῦ Αἰσχύλου ἐκράτουν καὶ μυρσίνην.

book 1364c ἀλλὰ] κἄν.

book 1365a κᾆθ' οὗτος: καὶ εἶτα οὗτος εὐθέως εἶπεν· ἐγὼ γάρ—ὁ "γάρ" περιττός—ἐγὼ νομίζω τὸν Αἰσχύλον τὸν πρῶτον ἐν ποιηταῖς ψόφου πλέων: γέμοντα τῶν κομπασμάτων.

book 1365b τῶν] ἀπό.

book 1367a ἀξύστατον: πεφυρμένον, τὰς ἐννοίας δι' ὅλου μὴ τηροῦντα.

book 1367b στόμφακα: στομφαστήν, λαρυγγιῶντα τῷ κρότῳ τῶν ῥημάτων.

book 1367c κρημνοποιόν: κεχρημένον κρημνώδεσι λέξεσι καὶ διηρμέναις.

book 1367d κρημνώδεσι λέξεσι χρώμενον, μετέωρον.

book 1367e ψόφου] κενοῦ κτύπου.

book 1367f πλέων] πεπληρώμενον.

book 1367g ἀξύστατον] πεφυρμένον.

book 1367h στόμφακα] λαρυγγιῶντα.

book 1368a ὀρεχθεῖν: σφαδάζειν, κινεῖσθαι, θυμοῦσθαι. ὅμως τὸν θυμὸν δακὼν καὶ κεντήσας ἔφην· σὺ δέ—ἔλλειψις, σχῆμα δὲ συντομίας—ἐπεὶ τούτων οὐ βούλει τι ᾆσαι, ἀλλὰ ἤτοι κἄν, λέξον τι τούτων τῶν νεωτέρων, ἅττα καὶ ἅτινά ἐστι τὰ σοφὰ ταῦτα.

book 1368b κἀνταῦθα] ὅτε ἔψεγεν Αἰσχύλον.

book 1368c ὀρεχθεῖν] κινεῖσθαι.

book 1369a δακὼν] κρατήσας.

book 1369b τούτων] ἀπό.

book 1371a ὁ δ' εὐθὺς ᾖσεν Εὐριπίδου ῥῆσιν: Αἰόλος δρᾶμά ἐστιν Εὐριπίδου, ἐν ᾧ φέρονται οἱ ἓξ τούτου υἱοὶ τὰς ἓξ αὐτῶν ἀδελφὰς ὡς νομίμους σχόντες συζύγους, ὡς καὶ Ὅμηρος περὶ τούτων ἐν Ὀδυσσείᾳ οὕτω πως λέγει· "ἔνθ' ὅ γ' υἱᾶς θυγατράσιν πόρεν εἶναι ἀκοίτας". Εὐριπίδης δὲ οὕτω διασκευάζει τούτων γενέσθαι τὸν γάμον· φησὶ τὸν Μακαρέα προφθείραντα Κανάκην τὴν ἀδελφὴν συμβουλῇ πεῖσαι τὸν πατέρα Αἰόλον συζεῦξαι αὐτόν τε καὶ τοὺς λοιποὺς ἀδελφοὺς ταῖς ἀδελφαῖς ταῖς οἰκείαις. τοῦτο οὖν, φησὶν ὁ Στρεψιάδης, τὸ δρᾶμα τὸ βδελυρὸν ἀναλεξάμενος Φειδιππίδης ἤρξατο ᾄδειν ῥῆσιν ἐκείνου, ὅπως ἔτι πρὸ γάμων λαθραίως ἦν φθείρων τὴν Κανάκην ὁ Μακαρεύς.

book 1371b ἐκίνει: διεπαρθένευε συνουσίᾳ λαθραίᾳ καὶ ἔφθειρεν.

book 1371c ὀψὲ καὶ μόλις ὁ ἀλιτήριος εἶπεν εὔφημον λέξιν.

book 1371d τὸ "ὡς" ἀντὶ τοῦ "ὅπως".

book 1371e ἐκίνει] ἐμοίχευεν, ἐμίγνυτο.

book 1372a ὦ 'λεξίκακε: σχετλιάζων ἐπ' ἀρρητουργίᾳ τοιᾷδε καὶ ἐπ' αἰσχρότητι ἀνακαλεῖται καὶ μέγα βοᾷ· ὦ Ἄπολλον, ἢ ὦ Ἥρακλες, ἀλεξίκακε, ἐλατήριοι καὶ ἀποδιῶκται παντοίων κακῶν καὶ αἰσχρῶν, μακρὰν ἀφ' ἡμῶν τοιαύτην ἀρρητουργίαν ἀποσοβήσατε καὶ ἐλάσατε. καὶ τότε "ἀδελφὴν ὁμομητρίαν ἐκίνει"· φιλόσοφοι μὲν τὴν ἐκ πατρὸς ἀδελφότητα μεγίστην οἴονται εἶναι καπνοὺς ἐρευγόμενοι. οὗτος δὲ νῦν καὶ πᾶς ὁ φρονῶν καὶ τὰ πράγματα διαιρῶν κριτικώτατά τε καὶ ἀκριβέστατα, καὶ πειθόμενος τῷ ἀδαεῖ γέροντι, παντὸς καὶ λόγου καὶ ἔργου καὶ πράγματος τὴν κατὰ μητέρα μεγίστην φησὶν ἀδελφότητα, ὥσπερ ἐκεῖνος οὑτωσὶ λέγων·

book 1372a μή με κτεῖναι, ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι, ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε.

book 1372b ὦ 'λεξίκακε] ὦ Ἄπολλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1373a ἐξαράττω: πλήττω, λοιδορῶ, βάλλω.

book 1373b ἠνεσχόμην] ὑπέμεινα.

book 1373c εὐθὺς] γρ. εὐθέως.

book 1373d ἐξαράττω] λοιδορῶ.

book 1374a πολλοῖς] ἐν.

book 1374b οἷον] ὥσπερ.

book 1375 ἠρειδόμεθα: ἐφιλονεικοῦμεν—ἐγὼ δὲ ἠρειδόμεθα τὸ ρει δίφθογγον γράφω—ἤτοι ἐπεστηριζόμεθα τοῖς οἰκείοις λόγοις, καὶ ἐνιστάμεθα καὶ ἀντετείνομεν ἀλλήλοις. καὶ δύναται ταὐτὸν τῷ ἠριδόμεθα τῷ ρι ἰῶτα.

book 1376a ἔφθλα: ἔθλα ἀττικῶς. κἀσπόδει: καὶ ἔτυπτε καὶ σποδιᾷ καὶ κόνει προσεκύλιε.

book 1376b ἔφλα] συνέτριβε.

book 1377 δικαίως] ἐτύπ〈τ〉ου.

book 1381a τραυλίζοντος: νηπίως ὑποψελλίζοντος καὶ λαλοῦντος σοῦ, ὡς λαλεῖ τὰ παιδάρια. [para]βρῦν: οἷνον κατὰ τὴν νηπίων παίδων φωνήν. μαμμᾶν: τὸν ἄρτον παιδικῶς πάλιν νόει. κακκᾶν: [para]ἐκτὸς κενῶσαι κοπρίαν τὴν ἐντέρων. προυσχόμην: [para]κατεῖχον ἐκκρίνειν σε καὶ προϊσχόμην μακρὰν ἐντείνων τὰς ἐμὰς χεῖρας τότε, μὴ Στρεψιάδην πως λαθὼν τὸν σὸν χέσῃς.

book 1381b γρ. αἰσθόμενος.

book 1381c αἰσθανόμενος] ἀκούων.

book 1381d νοοίης] ἐν τῷ νῷ ἔχοις.

book 1382a βρῦν] οἷνον κατὰ τὴν παιδαριώδη φωνήν.

book 1382b ἐπέσχον] παρεῖχον, ἔδιδον.

book 1383a αἰτήσαντος] σοῦ.

book 1383b ἧκόν] ἦλθον.

book 1385a προὐσχόμην] ἔξω τῶν χειρῶν εἶχον.

book 1385b ἀπάγχων] πνίγων.

book 1391a οἶμαί γε τῶν νεωτέρων: τὸ σφριγῶν καὶ νέον 〈τὸ〉 τῶν νεωτέρων αἷμα τὸ θερμὸν τῆς ταλαίνης καρδίας κινῆσαν ἀνάψαν τε τὸν θυμὸν πλέον πρὸς τὰς ἀμύνας ἐξεγείρει καὶ λόγους.

book 1391b νεωτέρων] ἀκροατῶν.

book 1392 ὅ τι] εἰς.

book 1393 οὗτος] ὁ υἱός.

book 1395a τὸ δέρμα: ὁ χορὸς τῶν Νεφελῶν πρὸς Στρεψιάδη φησίν· εἰ τοιαῦτα ἐξειργασμένος ὁ Φειδιππίδης ἤτοι πατροτυπτήσας σε λαλῶν καὶ πολυλογῶν ἀναπείσει, ὅτι δίκαιόν ἐστι πατροτυπτεῖν, καὶ τὴν δορὰν τῶν γερόντων λάβοιμεν ἂν ἐκδείραντες αὐτούς.

book 1395b λάβοιμεν] ἅψοιμεν.

book 1396a ἀλλ’ οὐδ’ ἐρεβίνθου: ἀλλ’ οὐδέ—τοῦ δέρματος λείπει—τοῦ ἐρεβίνθου, νῦν τοῦ αἰδοίου φησί, φεισαίμεθα ἄν, ἀλλὰ κἀκεῖνο ἐκδείραιμεν. ὁ “ἀλλά” παρέλκει.

book 1396b ἐρεβίνθου] τῶν αἰδοίων φεισόμεθα.

book 1397a σὸν ἔργον: σοὶ πρέπει, ὦ γέρον ζητητὰ καὶ ἐπιθυμητὰ καινοτέρων πραγμάτων, πιθανόν τι εὑρήσειν εἰς ἀποσόβησιν τῶν τοιούτων κακῶν.

book 1397b κινητὰ] ὦ ἐρευνητά.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1398 δόξεις] νομισθῇς.

book 1399a ὡς ἡδὺ: χαίρει ὁ Φειδιππίδης ὡς πατροτυπτήσας καὶ δυνάμενος περιουσίᾳ τῶν λόγων γεγονὸς δεῖξαι τοῦτο καὶ καλῶς καὶ δικαίως, καὶ ἐπαινεῖ δῆθεν φιλοσοφίαν λέγων· γλυκὺ λίαν ἐστὶ καινοῖς πράγμασι καὶ σοφοῖς ὁμιλεῖν, καὶ τῶν καθεστώτων καὶ κειμένων καὶ ἐστηριγμένων, νόμων ὑπερφρονεῖν. ἐγὼ γὰρ ἱππεὺς ὢν πρινὴ μετῆλθον φιλοσοφίαν δύο ἢ τρία ῥήματα ἀβαρβάρως καὶ μὴ διεφθαρμένως εἰπεῖν οὐκ ἴσχυον.

book 1399b ὡς] λίαν.

book 1399c ἡδὺ] γλυκύ.

book 1400a καθεστώτων] ὡρισμένων διὰ τοῦ λόγου.

book 1400b ὑπερφρονεῖν] καταφρονεῖν.

book 1400c δύνασθαι] τό.

book 1402 οἷος] δυνατός.

book 1403 τούτων] ἀπό.

book 1404a γνώμαις λεπταῖς: λεπτογνωμοσύναις καὶ λόγοις φιλοσόφοις.

book 1404b ξύνειμι] συνυπάρχω.

book 1407a ἐπιτριβῆναι: συντριβῆναι, ἀπολωλέναι, ἀποθανεῖν.

book 1407b ἵππων] ἵππον.

book 1407c τυπτόμενον] ἐμέ.

book 1407d ἐπιτριβῆναι] ἀφανισθῆναι.

book 1408a ἐκεῖσε δ’ ὅθεν: ἐκεῖσε καὶ ἐκεῖθε μέτειμι καὶ κατάρχομαι τοῦ λόγου, ὅθεν με ἀπέσχισας, ἀπεκώλυσας, ἀπέσπασας, ἐξήγαγες· παῖδά μ’ ὄντα ἔτυπτες; καὶ ὁ Στρεψιάδης· ναί, φησίν, ἐγώ σε ἔτυπτον, εὐνοῶν. καὶ ὁ Φειδιππίδης· καὶ οὐ δίκαιόν ἐστι κἀμὲ εὐνοεῖν τύπτειν τε σέ; ἐπεὶ κατὰ σὲ τὸ τύπτειν ἐστὶν εὐνοεῖν.

book 1408b ἀπέσχισας] ἀπέκοψας.

book 1410a ἔγωγέ] ναί.

book 1410b ς’] σοῦ.

book 1410c κηδόμενος] φροντίζων.

book 1412 εὐν 〈ο〉 εῖν] τό.

book 1413 ἀθῷον] ἀμέτοχον.

book 1414 ἔφυν] ἐγεννήθην.

book 1415a κλάουσι παῖδες: ἤτοι δαιρόμενοι παρὰ τῶν πατέρων καὶ διδασκάλων κλαίουσιν οἱ παῖδες, τοὺς πατέρας δὲ οὐ δοκεῖς ἁρμόδιον κλάειν; λύσις τοῦ ἀντιπίπτοντος. φήσεις νομίζεσθαι καὶ νόμιμον εἶναι τοῦτο τὸ ἔργον, ἤτοι τὸ τύπτεσθαι, παιδός. ἐγὼ δὲ ἀντιλέγω, ὡς δὶς παῖδες οἱ γέροντες· εἰκὸς δὲ τούτους μᾶλλόν ἐστι κλάειν παρόπερ τοὺς παῖδας, καθ’ ὅσον οὐδαμῶς ἔδει τοὺς γέροντας ἁμαρτάνειν ἐμπειρίαν σχόντας πολλὴν τῶν πραγμάτων, καὶ ὅμως ἁμαρτάνοντας ἐπίσης παισὶ τοῖς μὴ σχοῦσι πεῖραν πραγμάτων καὶ ἁμαρτάνουσι καὶ ὅμως ἀδίκως τυπτομένοις καὶ κλαίουσι συγγνώμης οὖσιν ἀξίοις. τὸ δὲ “κλάουσι παῖδες πατέρα δ’ οὐ κλάειν δοκεῖς” παρῳδηθέν ἐστιν ἐξ Εὐριπίδου Ἀλκήστιδος. ἐκεῖσε γὰρ ὁ Φέρης φησὶν Ἀδμήτῳ τῷ υἱῷ αὐτοῦ χαίρεις ὁρῶν φῶς, πατέρα δ’ οὐ χαίρειν δοκεῖς;

book 1415b τίη δή (sic)] διὰ τί.

book 1416 τοῦτο τοὖργον (sic)] τὸ πάθος, τὸ τύπτεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1419a ἧττον] οὐδαμῶς.

book 1419b δίκαιον] ἐστίν.

book 1419c αὐτούς] τοὺς γέροντας.

book 1420a ἀλλ’ οὐδαμοῦ: οὐδόλως, φησὶ Στρεψιάδης, νομίζεται καὶ τοῖς νόμοις δοκεῖ, δίκαιον τὸν πατέρα τοῦτο πάσχειν, τὸ κλαίειν τυπτόμενον. καὶ ὁ Φειδιππίδης· οὐκ ἀνὴρ ἦν καὶ ἄνθρωπος ὁ πρῶτον θεὶς τοῦτον τὸν νόμον, τὸ κλαίειν τοὺς παῖδας ἐν τῷ δαίρεσθαι, εἴ που τι ἁμάρτοιεν; ἧττον δή τι ἔξεστι κἀμοὶ τοῦ νομοθέτου τοῦ παλαιοῦ τοῦ θέντος τὸν νόμον ἐκεῖνον;

book 1420b νομίζεται] νενομισμένον ἐστί.

book 1423a τὸ δὲ “ἧττον” μικρόν τι, καινότερον νόμον θεῖναι τοῦτο αὐτό, τὸ τοὺς πατέρας ἀντιτύπτεσθαι ὑπὸ τῶν υἱέων.

book 1423b ἧττον] οὐδέν.

book 1425 τὸν νόμον] τὸν νῦν.

book 1427a σκέψαι δὲ τοὺς ἀλεκτρυόνας: τοῦτο ἔστιν ἐργασία ἀπὸ παραβολῆς. θεὶς γὰρ τὸ κεφάλαιον ἐπήγαγεν ἐπιχείρημα, καὶ τῷ ἐπιχειρήματι νῦν ἐπήνεγκεν ἐργασίαν ἀπὸ παραβολῆς. τὸ γὰρ ῥητορικὸν κεφάλαιον οὕτω τέλειον γίνεται, ἂν αὐτῷ μὲν ἐπενεχθῇ ἐπιχείρημα, ἐργασία δὲ τῷ ἐπιχειρήματι, τῇ ἐργασίᾳ δὲ ἂν ἐπενεχθῇ τι ἐνθύμημα. τὸ ἐνθύμημα δὲ οὗτος ἑκουσίως παρῆκεν· οὐ γὰρ τοσοῦτον ἐνθάδε ῥητορεύειν αὐτῷ σκοπὸς ἦν τεχνικώτατα, ὅσον κινεῖν τοὺς ἀκούοντας γελᾶν εὐτερπέστερον.

book 1427b βοτὰ: τὰ βοσκόμενα.

book 1427c ἐργασία ἀπὸ παραβολῆς· θεὶς γὰρ τὸ κεφάλαιον ἐπήγαγεν ἐπιχείρημα.

book 1427d ἡ παραβολὴ ἀπὸ τοῦ ἐλάττονος.

book 1429 πλήν γ’ ὅτι ψηφίσματα οὐ γράφουσιν: οὐ κροτοῦσι καὶ συνιστῶσι δικαστήρια. διασύρει δὲ τῶν Ἀθηναίων τὸ φιλόδικον συνωθῶν τούτους καὶ ἄκοντας εἰρανεῖν.

book 1431a οὐκ ἐσθίουσι τῶν κόπρων: “οὐ πίνουσιν οἴνων”, “οὐ τρώγουσιν ἄρτων” γενικὰ ἀττικῶς. κἀμοὶ δοκοῦσι κυριώτερα· ἀπὸ τῆς κόπρου γὰρ ἐσθίουσιν, οὐ πᾶσαν τὴν κόπρον, καὶ πίνουσιν οἴνου ὁμοίως, καὶ ἐπὶ τῶν λοιπῶν.

book 1431b τὸν] τήν.

book 1432a οὐ ταυτόν, ὦ τᾶν: οἱ μαθηταὶ Πυθαγόρου, ἂν ἐρωτώμενοι φυσικήν τινα αἰτίαν οὐκ εἶχον εἰπεῖν, προεῖπε δὲ περὶ ταύτης ὁ Πυθαγόρας τι ἀναπόδεικτον, αὐτοὶ καταφεύγοντες εἰς τὸ τοῦ διδασκάλου ἀξίωμα· αὐτὸς ἔφατο, ἔλεγον. ἀπορηθεὶς νῦν καὶ ὁ Φειδιππίδης, πῶς, ἐπεὶ ἀλεκτρυόνας μιμεῖται, οὐχὶ καὶ κόπρου ἐσθίει κἀπὶ ξύλου κάθηται ἢ καθεύδει, τὰ ὅμοια τοῖς Πυθαγορείοις μικρόν τι παρατρέπων φησίν· οὐ ταυτόν ἐστιν, ὦ τᾶν, καὶ ὦ φίλος, οὐδ’ ἂν τῷ Σωκράτει δοκοίη.

book 1432b τᾶν· εἰς τὸ “ταν” κἄν τε ὀξεῖαν θείη τις κἄν τε περισπωμένην, οὐχ ἁμαρτάνει. ὀξεῖαν μὲν διὰ τὸ “τὰ εἰς αν καὶ ὀξύνεται καὶ μακρὸν ἔχει τὸ α”· περισπωμένην, ὅτι πᾶν ὄνομα μονοσύλλαβον πλὴν τοῦ “τίς” μακρόν ἐστι καὶ περισπᾶται πλὴν τῶν γινομένων ἀπὸ μελλόντων δισυλλάβων.

book 1433 πρὸς ταῦτα μὴ τύπτε: οἱ παλαιοὶ τὸν ἔχοντα στίχον, τὸν “οὐ ταυτόν”, καὶ τὸν “πρὸς ταῦτα μὴ τύπτε με” τῷ Φειδιππίδῃ προσάπτουσι, τὸν δὲ “καὶ πῶς” ὅλον τῷ Στρεψιάδῃ. ὅπως δ’ ὁ Τζέτζης φησίν, ἄκουε. Φειδιππίδου φαμένου· τὸ ἐσθίειν κόπρου κἀπὶ ξύλου καθεύδειν οὐκ ἂν Σωκράτει δοκοίη, φησὶ Στρεψιάδης· πρὸς ταῦτα μὴ τύπτε. εἰ κατὰ τοὺς ἀλεκτρυόνας πατροτυπτεῖν θέλεις, κάθευδε κἀπὶ ξύλου καὶ τῆς κόπρου ἔσθιε κατ’ αὐτούς. πρὸς ταῦτα, ἃ λέγω, μὴ τύπτε τριτημόριον ὢν ἀλεκτρυόνος καὶ οὐχ ὁλόκληρος ἀλεκτρυών. εἰ δὲ μή, σαυτόν ποτε αἰτιάσῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤτοι σωφρονισθήσῃ, ὡς οἱ πατραλοῖαι. καὶ πάλιν κατὰ τὸν Τζέτζην τὸ “καὶ πῶς” μόνον φησὶν ὁ Φειδιππίδης, ὁ Στρεψιάδης δέ· ἐπεὶ σὲ μὲν δίκαιός εἰμ’ ἐγὼ κολάζειν, σὺ δὲ κολάσεις τὸν υἱόν, ἢν γένηταί σοι. οὕτω γράφων ὁ Τζέτζης ὀρθοῖ καὶ τὰ πρόσωπα καὶ νοῦν τὸν τοῦ λόγου.

book 1436a ἐγχανὼν: γελάσας.

book 1436b ἐγχανὼν] καταγελάσας.

book 1438 συγχωρεῖν δοκεῖ τὰ ἐπιεικῆ: ἐᾶν δοκεῖ μοι τοὺς παῖδας τὰ ἐπιεικῆ καὶ μέτρια καὶ δίκαια δρᾶν καὶ τύπτειν τοὺς πατέρας ἁμαρτάνοντας.

book 1452 ταυτὶ δι’ ὑμᾶς: ὁ Στρεψιάδης τὰς Νεφέλας ὑπαιτίους ποιεῖται τῆς παρὰ τοῦ παιδὸς αὐτοῦ Φειδιππίδου πατροτυψίας, καὶ τῆς ἀσεβείας, ἣν ἠσέβησεν εἰς θεοὺς πιστεύσας αὐταῖς ὡς μόναις οὔσαις θεαῖς. αἱ δὲ τὸν τρόπον αὐτοῦ αὐτῷ ὑπαίτιον τῶν κακῶν φασι γεγονέναι σκαιότητος ὄντα καὶ κακουργίας μεστόν. καὶ πάλιν οὑτοσὶ πρὸς αὐτάς· τί δέ μοι, φησί, τοῦτο οὐ προηγορεύετε, ἀλλ’ ἀγροδίαιτον ἄνδρα καὶ γέροντα ἀνεπείσατε καὶ ἀνεπτερώσατε εἴς τε ἀδικίαν τοσαύτην καὶ εἰς ἀσέβειαν, καὶ τέλος εἰς ἀχανὲς συμφορῶν κατεσείσατε βάραθρον; αἱ δέ· ἡ σὴ τροφός, γερόντιον, οὐ προεῖπε καταμυθολογοῦσά σοι, πόσα ὁ δαίμων σανδάλια ὑποπέζια, περιβαρίδας, ἁπλᾶς, καλτίους, πέδιλα καὶ ἄλλα εἴδη ἐμβάδων περιρρηγνύει, ὡς τοὺς φίλους αὐτῷ εἰς τὸ δίκρουν ξύλον μετεωρήσειεν; οὕτω καὶ ἡμεῖς δρῶμεν τοὺς πονηρούς, ὦ Στρεψιάδη, βεστίτζη καλέ.

book 1457 ἐπήρατε] ἀνεπείσατε καὶ ἀνεπτερώσατε.

book 1457, col 2 ἐπήρατε] ἐπλανήσατε διὰ τὸν λόγον.

book 1458 ἀεὶ] ἡμεῖς.

book 1462 πονηρά] λυπηρά.

book 1464a νῦν οὖν ὅπως: μετατρέπει τὸν λόγον πρὸς Φειδιππίδην καί φησι· νῦν οὖν, ὦ φίλτατε—λείπει τὸ “φρόντισον”—ὅπως καὶ πῶς ἀπολεῖς μετ’ ἐμοῦ Σωκράτην καὶ Χαιρεφῶντα.

book 1464b ὅπως] φρόντισον.

book 1468 πατρῷον Δία: τινὲς μακρηγορήματι πόσῳ πατρῷον Ἀπόλλω καὶ Δία φασὶν ἐν ταῖς Ἀθήναις τιμᾶσθαι. ἡμεῖς δὲ συντόμως φαμέν· ναὶ ναί, καταιδέσθητι τὸν πατρῷον Δία καὶ τὴν πατρῴαν παράκλησιν. ὁ Ζεὺς γὰρ πολλοῖς τιμᾶται ὀνόμασιν ἄλλοις, καὶ μυρία δὲ ⟦ὀνόματα⟧ ἕτερα πρὸς τὰς παρακλήσεις ἔχει ὀνόματα, πατρῷος, ὁμόγνιος, φίλιος καὶ τὰ ὅμοια. Δῖνος καὶ τἄλλα σαφῆ· ἃ γὰρ Φειδιππίδην πρὶν αὐτὸς ἐδίδασκεν ὡς σπουδαῖα, νῦν γελοίως ἀκούει.

book 1474a χυτραιοῦν ὄντα: χύτρα χυτραιοῦς. τὸν δῖνον λέγει τὸν ὀστρακοῦν ποτῆρα. Σωκράτους γὰρ τήν τε βροντὴν καὶ τὸν κεραυνὸν ἐκ δίνου καὶ συστροφῆς, ἀλλ’ οὐ Διός, διδάσκοντος αὐτῷ γίνεσθαι οὐ Δῖνόν τινα κλῆσιν ὁ Στρεψιάδης ἐκβάλλειν τὸν Δία τῆς ἀρχῆς ὑπετόπασε καὶ ἀντὶ Διὸς ἄρχειν ἐκεῖνον, ἀλλ’ ἀγροικικώτερον ἕνεκα τοῦ πλείονος γέλωτος ποτῆρά τινα κεραμεοῦν καὶ ὀστράκινον.

book 1474b ἤγουν πήλινον· πρὸς τὸν δῖνον ταῦτα λέγει.

book 1474c χυτρεοῦν] πήλινον· ἀπὸ χύτρας.

book 1480a ἀδολεσχίᾳ: φλυαρίᾳ· ἀπὸ τοῦ ἄδην καὶ αὐτάρκως, ἠθροισμένων ἀπόρων καὶ προσαιτῶν ἐν λέσχαις καὶ πτωχοδόκοις οἴκοις ἐμπύροις.

book 1480b ἀδολεσχία σημαίνει δ′· ἡ φιλοσοφία, ἡ ὀλιγωρία, ἡ φλυαρία καὶ τὸ παίγνιον.

book 1481a μου] μοι.

book 1481b γραφὴν] τιμωρίαν.

book 1482a διωκάθω] διώξω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1482b γραψάμενος] κατηγορήσας.

book 1483a ὀρθῶς παραινεῖς: ὡς δῆθεν ἀνανεύσαντος τοῦ ὑποκριτοῦ τοῦ εἰς τύπον ὄντος εἰδώλου Ἑρμοῦ.

book 1483b 1483] πρὸς ἑαυτὸν λέγει ταῦτα.

book 1485 ἀδολεσχῶν: ἀπὸ εὐθείας τῆς “ὁ ἀδολέσχης”· ὁ ἀδόλεσχος δὲ “ἀδολέσχων”.

book 1486a σμινύην: δίκελλαν.

book 1486b σμινύδα (sic)] ἀξίνην.

book 1489a ἕως] ὅπως.

book 1489b αὐτοῖς] αὐτῶν.

book 1489c ἐμβάλῃς] ῥίψῃς.

book 1490a δᾷδα: πῶς ὄπισθεν αἰτιώμενος τὸ εἰσάγειν δᾷδας καὶ λέγειν· ἰου ἰού, νῦν αὐτὸς λέγει ταῦτα; ὅτι καὶ δᾳσὶν ἐκεῖνοι ἐμπύροις τινὰ ἐνεπίμπρων καὶ ἐπὶ πολὺ τὸ “ἰου ἰού” εἰς θρηνῳδίαν παρέτεινον καὶ ἀτερπῆ σύγχυσιν, οὗτος δὲ λόγοις φησὶ ταῦτα ἢ καὶ δρᾷ μετρίῳ καὶ σώφρονι, οὐκ ἀγοραίῳ μιμήματι.

book 1490b ἡμμένην] ἁπτομένην.

book 1496 1496] ὡς καὶ Σωκράτης ἔφη.

book 1498 ἐκεῖνος] ἐστίν.

book 1500 1500] εἰ οὐ συντριβῇ ἡ ἀξίνη.

book 1500, col 2 μὴ ... ἐλπίδας] μὴ κλασθῇ.

book 1502 ἐτεόν] ἀληθῶς.

book 1506 ὑβρίζετον] ὑβρίζετε.

book 1507 καὶ τῆς σελήνης τὴν ἕδραν: τὸν στηριγμόν, ἤτοι ἐν ποίᾳ σφαίρᾳ ἐστί· χάριν γέλωτος, τὴν πυγὴν δ’ οὗτος λέγει.

book 1509, col 2 ὡς] ὅτι.

book 1510a ἡγεῖσθ’ ἔξω: τοῦτο ἔστιν ἡ καλουμένη ἔξοδος τοῦ χοροῦ. παρακελευόμενοι δὲ ἀλλήλους οἱ τοῦ χοροῦ, ὡσαύτως δὲ καὶ τοὺς θεατάς, φασίν· ἤδη ἔξω πορεύεσθε· σήμερον γὰρ συμμέτρως κωμῳδήσαντες ἐχορεύσαμεν.

book 1510b 1510] ἔξοδος τοῦ χοροῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org